*Αὔγουστος παρέσχε ναυμαχίαν καὶ μονομαχίαν.*

*Γερμανοὺς κατεστρέψατο Λόλλιος Μάρκος νεωτερίσαντας.*

B *Ἀγρίππας Βόσφορον ἐχειρώσατο.*

*Αὔγουστος μέγας ἀρχιερεὺς ἐψηφίσθη.*

### Τὰ ὑπόλοιπα τοῦ Ἡρώδου.

Ὑρκανὸν ἐκ Παρθικῆς ἐπανελθόντα γηραιὸν φόβῳ τῆς εὐγενείας Ἡρώδης ἀνεῖλεν, ὁμοίως δὲ καὶ Ἀριστόβουλον υἱὸν αὐτοῦ ἀρχιερέα.

Ὁ αὐτὸς καὶ Μαριάμνην ἰδίαν γαμετὴν θυγατέρα Ὑρκανοῦ, σὺν δύο παισὶν αὐτοῦ ἐξ αὐτῆς ἀνδρωθεῖσιν ἤδη, φονεύει, καὶ τὴν Μαριάμνης μητέρα, οἰκείαν δὲ πενθερὰν ὁ μιαιφόνος.

Κατὰ τὴν Ἰουδαίαν μέγας ἐγένετο σεισμός.

C Ἡρώδης πολλὰ καὶ μεγάλα ἔκτισεν ἐν Ἱερουσαλήμ.

Ἡρώδης τὴν πάλαι Σαμάρειαν ἔρημον οὖσαν ἐκ θεμελίων ἤγειρε, Σεβαστὴν εἰς τιμὴν τοῦ Καίσαρος ὀνομάσας.

Ὁ αὐτὸς τὸ Πάνιον εἰδωλεῖον κατεσκεύασεν ἐν Παναϊάδι τῷ Πανί.

*Λιμὸς μέγας κατὰ τὴν Ἰουδαίαν καὶ ὅλην Συρίαν ἐγένετο.*

Ἡρώδης τὸν Ἱεροσολύμων ναὸν διπλοῦν ἀνῳκοδόμησεν.

2. In margine B ͵ευλθ΄. In G ͵ευλ΄. 3. *Βόσπορον* Scaliger p. 76. *Bosphorum* Eusebius p. 366. 5. ͵ευλα΄ margo G, quod om. B. 6. ὑρκανὸν B. Ὑρκανῶν G. 7. δὲ add. B. 10. δύο] δυσὶ m. 11. μαριάμμης B. 16. πάνιον AB. Πάνειον G. παναϊάδι B. Παναΐδι G. *Paneade* Eusebius p. 366.

Augustus navale certamen et gladiatorium munus dedit.
Lollius Marcus Germanos res novas molitos debellavit.
Agrippa Bosphorum invasit.
Augustus pontifex maximus renunciatus est.

### Herodis reliquae res gestae.

Hyrcanum senio inclinatum e Parthica regione postliminio redeuntem sanguinis eius nobilitatem veritus Herodes occidit ac pariter Aristobulum eius filium pontificem.

Mariamnem Hyrcani filiam coniugem propriam cum liberis duobus adolescentiam praetergressis et Mariamnes germanam matrem sibi socrum idem parricida sustulit e vivis.

Iudaea magno terrae motu concussa.

Plurimas et praeclaras Hierosolymis aedes Herodes exstruxit.

Antiquam Samariam incolis desertam, in Augusti honorem Sebastes nomine imposito, Augustus a fundamentis erectam reparavit.

Idem Pani Panium fanum apud Paneadem consecravit.

Fames immensa per Iudaeam et Syriam grassata est.

Herodes Hierosolymiticum templum instauravit et geminum effecit.



Ἡρώδης τὸν πάλαι Στράτωνος πύργον Καισάρειαν εἰς τιμὴν τοῦ Καίσαρος ἐπικτίσας ὠνόμασεν.

Ὁ αὐτὸς Ἀνθηδόνα ἐπέκτισεν Ἀγριππίναν μετονομάσας, ἔτι τε Παρσανάβαν εἰς τιμὴν Ἀντιπάτρου τοῦ πατρὸς αὐτοῦ Ἀντι- D πατρίδα ὠνόμασε, καὶ ἄλλην εἰς οἰκεῖον ἐκάλεσεν ὄνομα πόλιν ἐγείρας Ἡρώδιον. ὁ αὐτὸς τὴν ἐν τῇ Γαλιλαίᾳ Γαβὰλ καὶ κατὰ πάσας πόλεις Συρίας καὶ Παλαιστίνης ἐπέκτισεν.

Ὁ αὐτὸς πρὸς ταῖς πολλαῖς μιαιφονίαις τὸν ἄνδρα Σαλώμης οἰκείας ἀδελφῆς ἀνεῖλε καὶ πάλιν ἕτερον αὐτῆς ἄνδρα δεύτερον ἔδωκεν.

Ὁ αὐτὸς τοὺς Ἰουδαίων νομομαθεῖς καὶ τῶν πατρίων ζηλωτὰς ἀπέκτεινεν.

Ὁ αὐτὸς τὰς ἀναγράπτους Ἰουδαίων γενεαλογίας ἐνέπρησεν, ἀμάρτυρον ὡς ἑαυτῷ κἀκείνοις πραγματευόμενος τὴν εὐγένειαν.

Δέον γινώσκειν ὅτι τὸ πρῶτον ἔτος Αὐγούστου Καίσαρος P. 315 ͵ευνη΄ ἔτος ἐστὶ τοῦ κόσμου, τὸ δὲ τέλος τοῦ ͵ευλθ΄ ἔτους τοῦ κόσμου πλήρωμα τοῦ μα΄ ἔτους τοῦ αὐτοῦ Αὐγούστου ἐστὶ καὶ ἀρχὴ τοῦ μβ΄ ἔτους, τοῦ δὲ Ἡρώδου ἐστὶν ἔτος λβ΄.

Τῷ ͵εφ΄ ἔτει τοῦ κόσμου, τοῦ δὲ Αὐγούστου Καίσαρος μβ΄, Ἡρώδου δὲ λβ΄, μηνὶ καθ᾽ Ἑβραίους ζ΄ ἤτοι Σεπτεμβρίῳ κζ΄, Ζα-

4. τε] δὲ G. παρσανάβαν B. Παρασανάβαν G. „Ioseph. *Καφαρσαβᾶν*. Chr. Alex. *Περσαβίνην*." m. Omisit Eusebius p. 366. αὐτοῦ] ἑαυτοῦ G. 6. Γαβὰλ] Γαμὰλ G. κατὰ πάσας B. κατασπάσας G. 9. αὐτῆς] αὐτῇ m. 11. νομομαθεῖς] ὀνομασθεὶς G. 14. ἀμαρτύρως ἑαυτῷ G. 16. τοῦ κόσμου] τοῦ om. B. 18 et 20. Ἡρώδους G. 20. ζ m. ζ ι΄ vulgo. Τοῦτο τὸ ἔτος τὸ πρῶτον τῆς τοῦ Σωτῆρος ὑπάρχει γεννήσεως, τῆς μὲν ια΄. περιόδου τῶν φλβ΄. ἐτῶν ρπα΄. ἔτος ὄν, τῆς ζ. (ϛ΄ Goarus) κη΄. ἐτηρίδος τοῦ ἡλίου, ἔτος ιβ΄. σελήνης θ΄. μὴν Σεπτέμβριος, ἡμέρα τοῦ μηνὸς κζ. τῆς ἑβδομάδος ε΄ margo A.

Veterem Stratonis turrim aedificiis auctam de Caesaris nomine Caesaream Herodes appellavit.

Idem Anthedonem absolvit vocavitque Agrippinam; Capharsabam quoque in Antipatri memoriam Antipatridem nuncupavit; aliamque urbem proprio sibi nomine dixit Herodium; Gamalam insuper Galilaeae aliasque aedes per Syriae et Palaestinae civitates cunctas perfecit.

Perpetratis pristinis caedibus eam addidit, qua sororis Salomes virum necaret et secundum ei coniugem induceret.

Idem Iudaeorum spectatissimos et patriarum legum observantes neci tradidit.

Idem Iudaicarum familiarum latercula litteris consignata nullo sibi caeterisque relicto nobilitatis indice combussit.

Sciendum annum Augusti Caesaris primum esse mundi 5459, anni vero a mundi conditu 5499, finem primi et quadragesimi ab Augusto numerati terminum esse et 42 principium; Herodis autem annum 32 in mundi 5500 et in Augusti Caesaris 42 incurrere. Herodis anno 32, mense iuxta He-

χαρίας θυμιῶν εἰς τὸ ἁγίασμα κατὰ τὴν τάξιν τῆς ἐφημερίας αὐτοῦ, ὥς φησιν ὁ θεῖος εὐαγγελιστὴς Λουκᾶς, εἶδεν ἄγγελον τὴν τοῦ μεγάλου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ σύλλη- B ψιν εὐαγγελιζόμενον αὐτῷ, καὶ φοβηθεὶς καὶ διστάσας ἔμεινεν ἄλαλος ἕως τοῦ τοκετοῦ αὐτοῦ κατὰ τὴν ἐπιτίμησιν.

Σημειωτέον δὲ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ πῶς φησιν ὁ V. 251 ἄγγελος περὶ τῆς τοῦ προδρόμου συλλήψεως πρὸς τὴν ἁγίαν παρθένον, καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, τῆς μὲν ἐκ τοῦ Δαβίδ, τῆς δὲ ἐκ τοῦ Λευὶ καταγομένης, περὶ οὗ ἑξῆς παρεθέμεθα.

Τῷ αὐτῷ ͵εφ' ἔτει ἀπὸ κτίσεως κόσμου πληρουμένῳ, τῷ κη' τοῦ Φαμενὼθ, μηνὸς Μαρτίου κδ', καὶ ἀρχομένῳ τῷ Φαμενὼθ C κθ' ἤτοι Μαρτίου κε', ἕκτος μὴν ἀπὸ τοῦ εὐαγγελισμοῦ Ζαχαρίου καὶ τῆς τοῦ προδρόμου συλλήψεως, ἀπεστάλη ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν ἁγίαν καὶ ὑπερένδοξον παρθένον τὰ τῆς παγκοσμίου σωτηρίας καὶ αἰωνίου ζωῆς εὐαγγέλια κομίζων. ἔτος τῆς μὲν ια' περιόδου τῶν φλβ' ἐτῶν ρπα' ἀρχόμενον, μὴν παρ' Ἑβραίοις Νισὰν πρωτόκτιστος α' ἄγων ἡμέραν, ἥτις κατὰ μὲν Ῥωμαίους τῇ κε' τοῦ Μαρτίου [μηνὸς] συμπίπτει ἀεὶ μηνὸς, κατὰ δὲ Αἰγυπτίους τῇ κθ' τοῦ Φαμενὼθ, πρὸ η' καλανδῶν Ἀπριλλίων, τοῦ δὲ δ' κατ' Αἰγυπτίους Χοιὰκ μηνὸς ἤτοι κδ' τοῦ Δε-

10. Ἔτος ἦν ἡλίου ιγ'. σελήνης ι'. ἡμέρᾳ τῆς ἑβδομάδος τοῦ ἁγίου εὐαγγελισμοῦ β'. μηνὸς Μαρτίου κε'. τῆς δὲ σωτηρίου γεννήσεως μηνὶ Δεκεμβρίῳ κε'. ἡμέρα τῆς ἑβδομάδος ε'. (δ' m.) margo A. 11. ἀρχομένῳ τῷ B. ἀρχομένου (ἀρχομένῃ m.) τοῦ G. 15. τῆς om. G. 17. νισσᾶν A. νησσὰν B. Νισσὰν G. α' ἄγων ἡμέραν] πρῶτος ἄγων ἡμέραν G. 18. μηνὸς delet m. ἀεὶ] Conf. p. 326 a. 20. Χοιὰκ] Vulgo Χυὰκ. Ante ἤτοι lacunam indicat G.

braeos 7, hoc est Septembris die 27, Zacharias ex vicis propriae ordine thus ad sanctum incensurus, Luca sacro evangelista teste, angelum magni Ioannis praecursoris et baptistae conceptum annunciantem vidit; ex quo metu dubioque correptus, ad ortus usque diem loquendi expers in poenam remansit.

Observandum in Lucae evangelio de praecursoris conceptu inter verba cum sacra virgine ab angelo habita recenseri haec. Et ecce Elizabeth cognata tua: ut ex iis, qua ex David, qua ex Levi originem duxisse colligatur, de quibus sequentia declarabunt.

Eodem ab orbis conditu anno 5500 obeunte, mensis Phamenoth die 28, mensis Martii 24, iamque mensis Phamenoth die 29 succedente, id est Martii 25, qui mensis a nuncio ad Zachariam lato et Ioannis conceptu sextus est, ad sanctam et super omnes gloriosam virginem salutis universorum et aeternae vitae revelaturus auspicia Gabriel archangelus missus fuit. Annus quidem 11 periodi annorum 532 exoriebatur 181, quo Nisan mensis iuxta Hebraeos primus creatus dierum dux praeibat, qui in Martii mensis diem 25 Romanis familiarem semper incurrit, et in Aegyptiaci Phamenoth diem 29 octavo Kalend. Apriles. A quo die posthac mensis Choeac apud



κεμβρίου μηνὸς, πρὸ θ' καλανδῶν Ἰανουαρίων, εἰς συμπλήρωσιν τῆς λα' ἡμέρας τοῦ Χασελεῦ, θ' μηνὸς κατὰ τοὺς Ἑβραίους D καὶ Χριστιανοὺς, ἡμέραι σοε', καθ' ἣν τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας καὶ φύσει καὶ ἀληθείᾳ κυρίως θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. τῇ ἐπιούσῃ κε' ἐγεννήθη ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστὸς, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, ἐν Βηθλεὲμ πόλει τῆς Ἰουδαίας, κατὰ τὸ μγ' ἔτος τῆς Αὐγούστου Ῥωμαίων Καίσαρος βασιλείας, ἐν ὑπατείᾳ Σουλπικίου Καμερίνου καὶ Γαΐου Ποππαίου, ὡς ἐν ἀκριβέσι καὶ παλαιοῖς ἀντιγράφοις φέρεται. ταῦτα οὐκ ἀφ' ἑαυτῶν συντετάχαμεν, ἀλλ' ἐκ τῶν παραδόσεων τοῦ μακαρίου ἀποστόλου καὶ ἀρχιεπισκόπου Ῥώμης Ἱππολύτου καὶ ἱερομάρτυρος, Ἀννιανοῦ τε τοῦ ὁσιωτάτου μοναχοῦ τοῦ συντάξαντος κύκλον ια' πασχάλια φλβ' ἐτῶν ἅμα σχολίοις ἀκριβέσι, καὶ Μαξίμου τοῦ ἁγιωτάτου μοναχοῦ καὶ φιλοσόφου μάρτυρος καὶ ὁμολογητοῦ καὶ μεγάλου διδασκάλου τῆς ἐκκλησίας. P. 316

Ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι τὴν οἰκουμένην, ὡς ἡ τῶν θείων εὐαγγελίων ἱερὰ βίβλος φησὶν, ἡνίκα καὶ Ἰωσὴφ σὺν τῇ παρθένῳ τὴν Βηθλεὲμ πόλιν Δαβὶδ καταλαβὼν, διὰ τὸ εἶναι αὐτοὺς ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ,

1. ἰαννουαρίων AB. 3. καθ' ἣν] ἐπληρώθησαν καθ' ἃς m. τὸ om. G. 4. καὶ φύσει] καὶ om. G. 5. Μαρίας] σύλληψις ἀπετελέσθη add. m. 7. ἔτος τῆς] ἔτος τοῦ G. 8. Vulgo ὑπατίᾳ. Legebatur Γουλπικίου καὶ Μαρίνου καὶ Γαΐου Πομπηΐου. Correxit m. 9. Ποππαίου] Ποππαίου Σαβίνου m. 11. καὶ om. B. 13. Vulgo πασχουάλια. πασχουάλιον m. πασχάλιον editio Veneta. Conf. ad p. 389, 15. | 14. μάρτυρος] μεγάλου G. 17. βίβλος] Lucae II, 1.

Aegyptios 4, (die 28), mensis nimirum Decembris die 24, nono Kalendas Ianuarias, ad mensis Chasleu penes Hebraeos et Christianos noni, et ad eius diei unius supra tricesimum complementum, diebus 275 elapsis, quibus secundum carnem ex sancta naturaliter vere et proprie dei genitrice et semper virgine Maria conceptus perfectus est; die 25 sequente dominus noster et deus Iesus Christus unigenitus dei filius in Bethleem civitate Iudaeae, imperii Augusti Rom. Caesaris anno 43, Sulpicio Camerino et C. Poppaeo Sabino coss., natus est; ut ex sincerioribus et antiquioribus exemplaribus habetur. Ex propria nusquam Minerva, sed ex B. apostoli, archiepiscopi et in agro Romano martyris Hippolyti et Aniani religiosissimi monachi, qui cyclum paschalem 11 annorum 532 scholiis illustratum studiosissime digessit, et Maximi sanctissimi monachi et praeclari philosophi, confessoris et praecipui ecclesiae doctoris traditis quasi per manus monumentis ista collegimus.

Exiit edictum a Caesare Augusto, ut describeretur universus orbis, ait sacratissimus divinorum evangeliorum textus, quo tempore Ioseph Bethleem David civitatem, virgine comite profectus, quod essent ex domo et

ἀπεγράφη. τότε τῶν ἡμερῶν τῆς ἀποῤῥήτου συλλήψεως πληρωθεισῶν τῇ θεομήτορι ἔτεκεν ὑπερφυῶς τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐσπαργάνωσε καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ παρατυχούσῃ κατὰ τὸ θεοδόχον σπήλαιον φάτνῃ, διὰ τὸ μὴ ἔχειν τόπον B ἐν τῷ καταλύματι. ταύτης τῆς κατὰ τὴν Ἰουδαίαν ἀπογραφῆς ὑπὸ τῆς συγκλήτου βουλῆς Κυρίνιος ἐπιμελητὴς ἐξεπέμφθη κατὰ τόδε τὸ κοσμικὸν ἔτος, οὐσιῶν καὶ οἰκητόρων ἀναγραφὰς ποιούμενος. αὕτη γάρ, φησὶν ὁ θεῖος Λουκᾶς, ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος Συρίας Κυρινίου.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εφ'.

### Τῆς θείας ἐνανθρωπήσεως ἔτος α'.

Πληρωθέντος τοῦ ,εφ' καὶ ἀρξαμένου τοῦ ,εφα' ὁ ποιμὴν ὁ καλὸς ποιμένας πρώτους δι' ἀγγέλων εἰς θέαν καὶ ἀκοὴν προσεκαλέσατο τῶν ἀποῤῥήτων. ὁ αὐτὸς δι' ἀστέρος ὁδηγοῦ μάγους C εἰς δορυφορίαν καὶ προσκύνησιν ἐπεσπάσατο. τῇ ὀγδόῃ ἡμέρᾳ περιέτεμον τὸν κύριον καὶ τῇ τεσσαρακοστῇ ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα κατὰ τὸν νόμον Μωϋσέως. ἡνίκα καὶ Συμεὼν πα-
V. 252 ραστὰς ἐνηγκαλίσατο τὸν πλαστουργόν. Ἄννα προφῆτις θυγάτηρ Φανουὴλ συμπαρῆν ἀνθομολογουμένη τῷ δι' ἡμᾶς νηπιάσαντι. τοῦ δὲ κόσμου ἦν ἔτος ,εφα'.

4. φάτνῃ m. ἐν φάτνῃ G. 5. ἀπογραφῆς B. ἐπιγραφῆς G. 8. φησὶν] ἔφη G. 13. καὶ ποιμένας G. 15. δωροφορίαν B. 18. προφήτης B. 19. τοῦ Φανουὴλ G.

familia David, recensitus est. Completis interim arcanae conceptionis in deiparente diebus filium suum primogenitum praeter naturae ordinem in lucem editum fasciis involvit, et in obvio specus divini illius hospitii praesepi, loci per totum diversorium alterius defectu, reclinavit. Descriptionis huius senatus consulto decretae onus Cyrinio impositum praesente a mundi conditu anno (5500) et possessiones incolasque omnes recensuit; hoc enim ita divinus Lucas enunciavit; haec descriptio prima facta est sub praeside Syriae Cyrinio.

## ANNI MUNDI 5500.

### Divinae Incarnat. an. primus.

Anno a mundi conditu 5500 completo, iamque 5501 ineunte, pastorum primos arcanorum suorum spectatores et auditores angelorum ministerio bonus ipse pastor Christus advocavit. Idem ipse, stella duce, magos ad satellitium et adorationem allexit. Die posthac octavo dominum circumcisum ex Mosaicae legis praescripto 40 Hierusalem deportatum ulnis adstans et obvius Simeon rerum omnium opificem complexus est. Anna prophetissa Phanuel filia sociam se adiungens, deo propter nos puerascenti mutuum testimonium reddidit. Erat porro mundi annus 5501.



Σέξτος Πυθαγορικὸς φιλόσοφος ἤκμαζεν.

Ἰούδας τις Γαλιλαῖος κατὰ Ῥωμαίων ἀποστατεῖν Ἰουδαίους D προέτρεπε διὰ τὴν ἀπογραφήν, ὁ ἐκ Γαμαλᾶς, περὶ οὗ καὶ Γαμαλιὴλ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων εἶπεν.

Ἡρώδης τέθνηκεν ο' ζήσας ἔτη, ἐξ ὧν ἐβασίλευσεν Ἰουδαίων λζ' ἔτη παρανόμως. ἐπὶ αὐτοῦ γὰρ ἡ πρόῤῥησις τοῦ πατριάρχου Ἰακὼβ ἐπληρώθη λέγουσα, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, ἤτοι ὁ Χριστός. ἕως αὐτοῦ ἡ ἐξ Ἰούδα ἀρχὴ διά τε βασιλέων καὶ ἀρχιερέων παρεστάθη, ὧν οἱ μὲν βασιλεῖς ὁμολογουμένως ἐξ Ἰούδα κατήγοντο, οἱ δὲ ἀρχιερεῖς καὶ αὐτοὶ κατὰ τὸ μητρῷον ἐξ Ἰούδα. ἐπείπερ Ἀαρὼν τὴν θυγατέρα τοῦ Ἀμι- P. 317
ναδὰβ ἄρχοντος υἱῶν Ἰούδα ἔγημεν ἐν Αἰγύπτῳ, καθ' ὃ καὶ συγγενεῖς ὑπῆρχον οἱ ἐξ Ἰούδα καὶ Λευί. διὸ καὶ ὁ ἄγγελος τῇ θεοτόκῳ ἔφη, καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου. οὗτος πρῶτος ἀλλόφυλος ἦρξεν Ἰουδαίων Ἄραψ Ἰδουμαῖος ὤν.

Ὁ αὐτὸς πρῶτον ἀλλόφυλον ἀρχιερέα κατέστησε τὸν Ἀνάνηλον, ὡς Ἰώσηππος.

Ὁ αὐτὸς πρῶτος τὴν ἱερατικὴν στολὴν ὑπὸ τὴν Ῥωμαίων σφραγῖδα ἔθετο.

1. Σποράδην praefixit G. φιλόσοφος Πυθαγορικὸς G. 3. Γαμαλιὴλ] γαμαὴλ B. 4. ἐν ταῖς] αὐταῖς G. πράξεσι] Act. V, 34. 5. ο'] ὁ ABG. ἔτη A. ἔτη ο' G. 7. ἐπληρώθη] ἐπεπλήρωτο G. λέγουσα] Genes. XLIX, 10. 8. ἔλθῃ] ἔλθοι G. 12. ἀμιναδὰμ A. 14. ὁ om. B. 15. ἔφη] Apud Lucam I, 36. Ἐλισάβετ] ἡ Ἐλισάβετ G. 19. ὑπὸ τὴν] ὑπὸ τῶν G. Ῥωμαίων m. Vulgo Ἰουδαίων.

### Miscellanea.

Sextus philosophus Pythagoricus florebat.

Iudas quidam Galilaeus Gamala oriundus Iudaeis, descriptione a Romanis facta, rebellionis auctor fuit, de qua Gamaliel in apostolorum actibus disserit.

Herodes impletis septuaginta annis, e quibus septem et triginta cum iniuria regnum tenuit, moritur. Eius tempore enunciatum patriarchae Iacob vaticinium probatur, quo dicitur: „non deficiet princeps ex Iuda, neque de femoribus eius dux, donec veniat, qui repositus est, Christus videlicet." Ad eum usque Iudaeorum principatus per reges et pontifices medios propagatus est; quorum reges ex Iuda oriri fatentur cuncti; pontifices vero materni sanguinis traduce ex eodem Iuda enasci dignoscebantur. Aminadab enim filiorum Iudae principis filiam Aaron sibi sumpsit in Aegypto, ex quo Iudaei et Levitae redditi consanguinei. Qua de causa dei genitrici dixit angelus: „et ecce Elisabeth cognata tua." Herodes primus alieni sanguinis propago, Idumaeus nimirum Arabs, Iudaeorum regnum invasit.

Idem, Iosepho teste, primum pontificem alienigenam renunciavit Ananelum.

Ipse idem pontificalem ornatum Romano anulo signatum seposuit.

Τὰ ὑπόλοιπα Ἡρώδου τοῦ ἀλλοφύλου.

### ΚΟΣΜΟΥ ΕΤΗ ͵εφα'.

B

Ἡρώδης ὁ μιαιφονώτατος πρὸς ταῖς πολλαῖς τῶν συγγενῶν φονοκτονίαις κατὰ τὴν Βηθλεὲμ ἀναιρεῖ νήπια, τὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρὰ τῶν μάγων πυθόμενος γέννησιν.

Ἡρώδης θεηλάτως πληγεὶς καὶ τρίτον υἱὸν ἐπιβουλεύοντα νομίσας γνήσιον ἀνεῖλεν. ὁ αὐτὸς ὕδρωπι συσχεθεὶς σκώληκας ἀπὸ τοῦ στόματος ἐξέβρασε καὶ οὕτως δεινῶς ὀδυρόμενος τέθνηκεν. ὁ αὐτὸς ο' ἔτη ἔζησε καὶ λζ' ἔτη ἐβασίλευσε τῶν Ἰουδαίων.

C

### ΚΟΣΜΟΥ ΕΤΗ ͵εφε'.

Τῆς θείας σαρκώσεως ἔτη ε'.

Τελευτήσαντος Ἡρώδου κατὰ Ματθαῖον τὸν θεσπέσιον, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων, ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ. ἦν δ' ἄρα ε' ἔτος τῆς τοῦ σωτῆρος ἡμῶν ἡλικίας κατὰ σάρκα.

Ἰουδαίων δεύτερος ἀλλόφυλος ἐβασίλευσεν Ἀρχέλαος υἱὸς Ἡρώδου ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εφς'.

D Αὔγουστος Ἀρχέλαον μὲν υἱὸν Ἡρώδου Ἰουδαίων ἐθνάρχην

2. ΚΟΣΜΟΥ] τοῦ κόσμου AB. 7. θεηλάτης G. 9. οὕτως B. οὕτω G. 13. Ματθαῖον] Cap. 2. 14. κυρίου om. G.

Herodis alienigenae reliqua gesta.

### ANNI MUNDI 5501.

Herodes sicariorum sceleratissimus audita magorum relatu domini et dei et salvatoris nostri Iesu Christi nativitate, aliis consanguineorum caedibus cumulum additurus, Bethleemiticos infantes mactat.

Herodes plaga caelitus immissa percussus filium e suis tertium insidiari ratus occidit. Hydropis labe male affecto vermes ore ebulliebant; quare inter querelas et eiulatus miseram animam effudit. Vixit annis septuaginta, Iudaeis imperavit septem et triginta.

### ANNI MUNDI 5505.

Divinae Incarnationis an. 5.

Herode mortuo, scribit divinus evangelista Matthaeus, „ecce angelus domini per somnum apparuit Ioseph dicens: „exsurgens accipe puerum et eius matrem et vade in terram Israël." Erat tunc aetatis secundum carnem salvatoris quintus.

Iudaeorum rex 2 alienigena Archelaus, Herodis filius, annis 9; erat vero mundi annus 5506.

Archelaum quidem Herodis filium Iudaicae gentis rectorem Augustus



κατέστησε, τοὺς δὲ ἄλλους ἀδελφοὺς αὐτοῦ τέσσαρας ὄντας, Ἡρώδην ὁμώνυμον τῷ πατρὶ καὶ Ἀντίπατρον τῷ πάππῳ Λυσανίαν τε καὶ Φίλιππον, τετράρχας ἀνέδειξεν.

Ἰστέον ὅτι διάφορα εὐαγγέλια γέγραπται, ἐξ ὧν τέσσαρα V. 253 μόνα κέκριται τοῖς μακαρίοις ἀποστόλοις ἐκκλησιάζεσθαι, καὶ ἄλλοις παιδικὰ τοῦ σωτῆρος ἡμῶν συγγέγραπται, ἐν οἷς αἱ μέχρι δωδεκαετοῦς χρόνου τῆς κατὰ σάρκα ἡλικίας αὐτοῦ τούτων αἰώνων ποιητοῦ ἐμπεριφέρονται θαυματουργίαι· τὰς γὰρ ὅλας ὑπ' αὐτοῦ τελεσθείσας δυνάμεις ἀδύνατον ἦν γραφῆναι, διὰ τὸ μηδὲ τὸν κόσμον ὅλον δύνασθαι χωρεῖν καὶ αἰσθητῶς καὶ νοητῶς τὰ P. 318 γραφόμενα βιβλία κατὰ τὴν θεολόγου μαρτυρίαν. Λουκᾶς δὲ ὁ σοφώτατος ἐν μέρει ταῦτα σημαίνων οὕτω φησί· τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτῷ, καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα καὶ ὅτε ἐγένετο ἐτῶν ιβ', ἀναβαινόντων αὐτῶν εἰς Ἱεροσόλυμα, κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ἐπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ B ἐν τοῖς γνωστοῖς, καὶ μὴ εὑρόντες αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν. καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς εὗρον

2. Ἡρώδη G. 6. συγγέγραπται] γέγραπται G. μέχρι δώδεκα ἔτους χρόνου τῆς B. μέχρι τοῦ ιβ' ἔτους χρόνου τῆς A. μέχρι τοῦ ιβ' ἔτους τῆς G. 11. Λουκᾶς] Cap. 2. 14. ἐπ'] ἐν G. 20. ἀνεζήτων A. 22. ηὗρον A.

instituit; fratres autem eius quatuor, Herodem nimirum eiusdem cum patre nominis et cum avo Antipatrum Lysaniamque et Philippum, quadrumviros declaravit.

Sciendum conscripta fuisse diversa evangelia, e quibus quatuor duntaxat B. apostolis probata, quae publice in ecclesia legerentur. A nonnullis salvatoris infantia scriptis exarata, quibus patrata ad annum aetatis secundum carnem 12 salvatoris saeculorum opificis miracula memorantur. Edita namque cuncta virtutum eius opera humanarum virium non erat conscribere, quod neque mundus universus, teste theologo, pro sensus aut intellectus captu digesta de mirandis eius volumina continere possit. Ea vero Lucas ex parte delibans solerter dixit; „puer crescebat et confortabatur spiritu, plenus sapientia et gratia dei erat in illo." Eius porro parentes per annos singulos die paschatis festo Hierosolymam se conferebant. Cum vero annorum esset 12, adscendentibus illis Hierosolyma secundum diei festi consuetudinem, consummatis diebus, ut redirent, remansit puer Iesus in Hierusalem. Et non cognovit Ioseph vel mater eius. Eum vero in comitatu esse rati, diei unius itinere processerunt; et inter cognatos et notos requisito et non invento, in Hierusalem quaesituri reversi sunt. Diebus itaque tri-

αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφιγ'.

Τῆς θείας σαρκώσεως ἔτη ιγ'.

### Τὰ ὑπόλοιπα τῶν Ῥωμαίων Καίσαρος Σεβαστοῦ Ὀκταουΐου, τοῦ καὶ Αὐγούστου.

C Ἐπὶ Καίσαρος Αὐγούστου φιλόσοφοι ἤκμαζον ἐπίσημοι οὗτοι, Βιργίλιος, Σαλούστιος, Λίβιος, Ὁρτένσιος, Τερέντιος, Ὁράτιος, Ἀθηνόδωρος Ταρσεὺς καὶ Σιτίων Ἀλεξανδρεύς.

Ἀθηναῖοι στασιάζειν ἀρξάμενοι κολασθέντες ἐπαύσαντο.

Αὔγουστος κρατήσας μετὰ Γάϊον Ἰούλιον Καίσαρα τῆς Ῥωμαίων ἀρχῆς τὰ πάντα ἔτη νϛ', μονοκράτωρ δὲ ἔτη μγ', ὡς δὲ ἕτεροι μη', τελευτᾷ τὸν βίον ἐν Ῥώμῃ, καθ' ὃν χρόνον ἔκλειψις ἡλιακὴ γέγονε, λιμός τε κατέσχε τὴν Ῥωμαίων ἰσχυρά, ὡς πολλῶν δηναρίων τὸν μόδιον τοῦ σίτου πραθῆναι.

D Ὁ αὐτὸς τοὺς οἰκήτορας Ῥώμης κατὰ πρόσωπον ἀριθμήσας εὗρεν οἰκοῦντας αὐτὴν ἀνδρῶν μυριάδας ιγ' καὶ ͵αλζ.

Τιβέριον δὲ τὸν αὐτοῦ πρόγονον υἱοθετησάμενος, περιφανῆ

2. αὐτῶν] αὐτοὺς G. 6. καὶ Καίσαρος m. 9. βιργήλιος B. 10. Σιτίων] Σωτίων Scaliger p. 76. ex Hieronymo. *Sition* etiam Eusebius p. 368. 14. τοῦ βίου G. 15. ἡλιακὴ B. ἡλίου G. 17. τοὺς om. B.

bus elapsis in templo medio doctorum consessu sedentem, illos audientem et interrogantem repererunt. Omnes porro qui eum audiebant, eius sapientia responsisque cognitis stupebant.

## ANNI MUNDI 5513.

Divinae Incarnationis an. 13.

### Reliqua Romanorum et Caesaris Octavii Augusti gesta.

Augusto Caesare imperante Virgilius, Salustius, Livius, Hortensius, Terentius, Horatius, Athenodorus Tarsensis et Sition Alexandrinus philosophi clarebant.

Athenienses res novas moliti et castigati quieverunt.

Augustus post C. Iulium Caesarem imperium adeptus, annis in universum 56 solus annis 43, vel ut aliis placet 48 regnavit. Diem extremum Romae obit, quo tempore solis eclipsis contigit, famesque adeo valida Romanum imperium obtinuit, ut aere plurimo frumenti modius distraheretur.

Romae civibus viritim recensitis myriades hominum 13 et 1037 idem numeravit.

Tiberium privignum adoptatum imperii successorem illustrem et Roma-



τῆς ὅλης ἀρχῆς διάδοχον, καὶ Ῥωμαίων τρίτον ἀνέδειξεν αὐτοκράτορα, ὃς καὶ ἐβασίλευσεν ἔτη κβ'.

### Τὰ ὑπόλοιπα τοῦ δευτέρου ἀλλοφύλου Ἀρχελάου υἱοῦ Ἡρώδου.

Οὗτος μετὰ θ' τῆς ἀρχῆς ἔτη εἰς Βίενναν πόλιν Γαλατίας ὑπὸ Ῥωμαίων ἐξορίζεται.

Ἰουδαίων γ' ἀλλόφυλος Ἡρώδης, υἱὸς Ἡρώδου, ἀδελφὸς Ἀρχελάου, ἔτη κδ'. P. 319

Οὗτος Ἰωάννην τὸν βαπτιστὴν ἀνεῖλε τῷ ἔτει τῆς αὐτοῦ ἀρχῆς. V. 254 ἐφ' οὗ καὶ ὁ κύριος ἡμῶν ἑκουσίως δι' ἡμᾶς τὸ σωτήριον πάθος ὑπέστη.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφιε'.

Τῆς θείας σαρκώσεως ἔτη ιε'.

Ῥωμαίων γ' μόναρχος Τιβέριος ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εφιε'.

Τῆς μικρᾶς Ἀσίας σεισμῷ ιγ' πόλεις κατεπτώθησαν, Ἔφεσος, B Μαγνησία, Σάρδεις, Μοστηνὴ, Αἰγαὶ, Ἱεροκαισάρεια, Φιλαδέλφεια, Τμῶλος, Τῆμνος, Μύρινα, Κύμη, Ἀπολλωνία Δία, Ὑρκανία.

5. ἔτη τῆς ἀρχῆς G. Βίενναν] βίενναν AB. Βίαναν G. *Viennam* Eusebius p. 368. Γαλατίας] Vulgo Γαλιλαίας. Correxi ex Eusebio, ubi est *Galatarum*. Γαλλίας m. Similiter peccatum p. 331 a. 8. τοῦ δὲ κόσμου ͵εφιε' addit m. 13. ἔτη] ἔτος B. 14. μονάρχης G. 17. σάρδις AB. Vulgo Μοστίνη. *Mosthene* Eusebius p. 369. Αἰγαὶ] Vulgo Αἶγαι. Φιλαδελφία G. 18. Τῆμνος] τῖμος A. τίμος B. *Temnus* Eusebius. Vulgo Μυρῖνα. μυρίνα B. κυμὴ B.

norum Imperatorem tertium renunciavit, qui deinde annis viginti duobus rempublicam administravit.

### Reliqua Archelai filii Herodis regis alienigenae gesta.

Hic rerum summa annos novem potitus Viennam Galliae a Romanis in exsilium mittitur.

Iudaeorum rex 3 alienigena Herodes, Herodis alterius filius, Archelai frater, annis 24, mundi vero 5515.

Hic Ioannem baptistam occidit ipso regni accepti anno redeunte. Eo regnante spontaneam pro nobis passionem dominus subiit.

## ANNI MUNDI 5515.

Divinae Incarnationis an. 15.

Romanorum monarcha 3 Tiberius tenuit imperium annis 22, mundi vero 5515.

Urbes minoris Asiae tredecim terrae motu corruunt: Ephesus, Magnesia, Sardes, Mostine, Aegae, Hierocaesaria, Philadelphia, Tmolus, Tymus, Myrina, Cumae, Apollonia Dia, Hyrcania.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εφκ'.

### Τῆς θείας σαρκώσεως ἔτη κ'.

Τὴν μὲν κατὰ σάρκα γέννησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύο μόνοι τῶν εὐαγγελιστῶν ἱστόρησαν, Ματθαῖος τὸ βασιλικὸν ἐκ τοῦ Δαβὶδ κατὰ Σολομῶνα καὶ Λουκᾶς τὸ ἱερατικὸν ἐκ τοῦ αὐτοῦ Δαβίδ, κατὰ Νάθαν υἱὸν αὐτοῦ. C τὴν δὲ ἄχρονον γέννησιν ἐκ τοῦ πατρὸς Ἰωάννης μόνος ὁ υἱὸς τῆς βροντῆς ἐθεολόγησε. τὸν μέντοι περὶ τοῦ βαπτίσματος λόγον οἱ τέσσαρες ὁμοφρόνως συνέγραψαν, εἰκότως. ἀλλ' οἱ μὲν τρεῖς ἀπροσδιορίστως, Λουκᾶς δὲ ὁ θεσπέσιος καὶ τὸν χρόνον ἠκρίβωσεν εἰπὼν οὕτως· ἐν ἔτει ιε' τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο D ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. ἄξιον μὲν οὖν θαυμάσαι τὴν θείαν τοῦ σοφωτάτου εὐαγγελιστοῦ συντομίαν, πῶς ἐν ὀλίγαις λέξεσι τὰ διὰ πολλῶν τοῖς πολλοῖς ἱστορούμενα διδάσκει τὸν χρόνον τοῦ κρατοῦντος, ἐπεὶ καὶ πᾶσα χρονικὴ ψῆφος ἢ ἐκ τῶν πάλαι γενεαρχῶν ἢ ἐκ τῶν ἔπειτα βασιλέων ἐπισήμων λαμβάνεται,

2. ἔτη] ἔτος AB. 5. κατὰ Σολομῶνα — Δαβὶδ om. B. 7. ὁ om. G. 9. ὁμοφώνως m. 10. δὲ om. G. 11. οὕτως] Cap. 3. 15. ἀβιλινῆς AB. 19. πῶς] ὡς G.

## ANNI MUNDI 5520.

### Divinae Incarnationis an. 20.

Domini et dei et salvatoris nostri Iesu Christi secundum carnem ortum evangelistae soli duo, Matthaeus quidem regio genere ex David per Salomonem, Lucas vero sacerdotali ex David per Nathan filium eius traducto natum fecerunt; quae vero aeterna et supra temporis mensuram ex patre nativitas a solo Ioanne tonitrui filio divino stilo conscripta est. Ac baptismi quidem historiam quatuor omnes exposuerunt et commode; verum ex illis tres, sine temporis nota vel charactere, divinus autem Lucas etiam tempus diligenter annotavit, hoc pacto dicens: „anno decimo quinto imperii Tiberii Caesaris, procurante Pontio Pilato Iudaeos, tetrarcha Galilaeae Herode, Philippo eius fratre tetrarcha Itureae et Trachonitidis regionis, Lysania vero Abylinae tetrarcha, sub pontificibus Anna et Caipha; factum est verbum domini super Ioannem Zachariae filium in deserto. Et venit in omnem regionem circa Iordanem praedicans baptismum poenitentiae in remissionem peccatorum." Eruditissimi evangelistae contracto sermone res a plerisque fusius expositas, principum videlicet singulorum tempus enarrantis miranda brevitas; ratio quippe temporum omnis aut ex antiquis familiarum auctoribus aut ex clarissimis deinceps regibus petitur.



τὸν ἡγεμόνα τῆς Ἰουδαίας Πιλᾶτον, Ἡρώδην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, μετὰ τῆς ἑκάστου τοπικῆς ἀρχῆς, τοὺς ἀρχιερατεύοντας Ἄνναν καὶ Καϊάφαν. ἐπειδὴ δὲ πάντων ἔσχατον ἦν καὶ πρῶτον εἰπεῖν κατὰ ποῖον ἔτος τῆς δεσποτικῆς ἡλικίας ἦν, τὸ ιε' ἔτος Τιβερίου φράσας, πρότερον τὸν βαπτιστὴν καὶ τὸ εἶδος τοῦ βαπτίσματος, ὅσον ὑπόβαθρον τοῦ κατὰ Χριστὸν βαπτίσματος, ὥσπερ τινὰ στέφανον εἰσάγει, τὸν αὐτὸν χρόνον προσθεὶς καὶ τὴν κατὰ Νάθαν ἀπὸ Δαβὶδ γενεαλογίαν ἄλλῃ τάξει χρώμενος ἤ φησι. P. 320

### Τὰ ὑπόλοιπα τοῦ μονάρχου Καίσαρος Τιβερίου.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εφκ'.

Τιβέριος Δροῦσον τῆς ἀρχῆς κοινωνὸν προσλαβόμενος μετὰ μικρὸν ὡς φαρμακὸν ἀνεῖλε. B

Τὸ Πομπηίου θέατρον ἐπρήσθη.

Τιβέριος Πόντιον Πιλᾶτον ἡγεμόνα τῆς Ἰουδαίας ἐξέπεμψε.

Φίλιππος τετράρχης Πανεάδα ἀνακτίσας Καισάρειαν Φιλίππου προσωνόμασεν. V. 255

Ὁ αὐτὸς πόλιν Ἰουλιάδα ἔκτισεν.

Ἡρώδης ἔκτισε Τιβεριάδα εἰς ὄνομα Τιβερίου Καίσαρος. ὁ αὐτὸς Λιβιάδα.

1. τὸν ἡγεμόνα] διὸ καὶ ἐπισημαίνει τὸν ἡγεμόνα m. 4. κατὰ] καὶ G. 8. ἢ B. ἢ A. ὡς G. 10. τοῦ κόσμου AB. 11. μετὰ B. κατὰ G. 13. Τὸ om. G. 15. παναιᾶδα B. ἀνακτήσας G. 17. πόλιν B. πόλεις G. 17. Ἰουλιάδα] Legebatur Ἰούδα. Correxi ex Eusebio p. 369. 19. Λιβιάδα] Vulgo Λιβύδα. Liviadem Eusebius.

Quare praesidem Iudaeae Pilatum, Herodem eiusque fratres designato singulorum principatus loco, pontificum denique munere functos Annam et Caipham observat. Quoniam vero quod in dicendo primum erat, dominicae nimirum aetatis annus quis numerandus, postremo retulit loco; sane praemisso Tiberii anno 15 baptistae quoque mentione prius habita baptismi eius speciem velut alterius a Christo instituti baptismi fundamentum contemplatus, ac si coronidem quandam imponeret, ipsum Chriti tempus, unaque generis eius a David per Nathan seriem alio ordine, ut inquit, usus subiungit.

### Reliqua Tiberii Caesaris monarchae gesta.

## ANNI MUNDI 5520.

Tiberius Drusum in imperii societatem adscitum, brevi spatio quasi veneficiis addictum, interfecit.

Pompeii theatrum igne consumptum.

Pontium Pilatum Iudaeae praesidem Tiberius abdicavit.

Philippus tetrarcha Paneadem a se reparatam Caesaream Philippi vocavit.

Alias Iudaeae urbes condidit.

Herodes Tiberiadem in Tiberii Caesaris honorem construxit.

Idem Iuliadem aedificavit.

*Τὰ ὑπόλοιπα Ἡρώδου υἱοῦ Ἡρώδου.*

C *ΚΟΣΜΟΥ ΕΤΗ ͵εφλβʹ.*

*Τῆς σαρκώσεως ἔτη λβʹ.*

Ἰωάννην τὸν βαπτιστὴν καὶ πρόδρομον βαπτίζοντα ἐν τῷ ὕδατι εἰς μετάνοιαν καὶ τῷ ἐν πνεύματι βαπτίσματι προοδοποιοῦντα τὸ τοῦ κατὰ Χριστὸν εὐαγγελίου κήρυγμα παρὰ πάντων τε ὡς προφήτην τιμώμενον φοβούμενος Ἡρώδης ἀνεῖλεν οὕτως, ὡς Ἰώσηππός φησιν, ὡς δὲ ὁ θεῖος εὐαγγελιστὴς ἀκριβέστερόν φησι καὶ ὡς ἐλέγχοντα αὐτὸν ἐπὶ μοιχείᾳ τῆς γυναικὸς Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ Ἡρωδιάδος.

*ΚΟΣΜΟΥ ΕΤΗ ͵εφλγʹ.*

D *Τῆς θείας σαρκώσεως ἔτη λγʹ.*

Ἐν τούτῳ τῷ ͵εφλγʹ ἔτει ἀπὸ κτίσεως κόσμου, ὅπερ τῆς κατὰ σάρκα τοῦ σωτῆρος ἡμῶν ἡλικίας λγʹ ὑπῆρχε, τῆς δὲ ιαʹ περιόδου τῶν φλβʹ κυκλικῶν ἐτῶν σιγʹ, κατὰ τὸ ιθʹ ἔτος Τιβερίου Καίσαρος, ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστὸς, ὁ φύσει μονογενὴς, ὁ ὁμοούσιος τοῦ ἀγεννήτου πατρὸς, υἱὸς προαιώνιος καὶ συναΐδιος τῷ ὁμοουσίῳ πνεύματι, ὁ εἷς τῆς ἀκτίστου καὶ παντουργοῦ τριάδος, μετὰ τὴν ἐκ παρθένου θεοπρεπῆ καὶ ἀπόρρητον γέννησιν, καὶ τὸ ὑπὸ Ἰωάννου ἐν Ἰορδάνῃ βάπτισμα καὶ

4. ἐν τῷ] ἐν om. G. 6. τοῦ addidi ex B. 7. ὡς] ὁ G. 8. φησιν, ὡς δὲ — ἀκριβέστερον addidi ex B. 9. μοιχίᾳ B. 12. ἔτος AB. ἔτει G. 13. κατὰ σάρκα om. G. 15. τοῦ Τιβερίου G.

Herodis alterius Herodis filii residua gesta.

ANNI MUNDI 5532.

DIVINAE INCARNATIONIS AN. 32.

Ioannem baptistam et praecursorem poenitentiae baptismum aqua perficientem et spirituali baptismo evangelii Christi praedicationi viam sternentem, velut prophetam ab omnibus habitum Herodes veritus e medio sustulit; ita refert Iosephus, quod adulterii in Herodiadem Philippi fratris uxorem admissi eum argueret.

ANNI MUMDI 5533.

DIVINAE INCARNATIONIS AN. 33.

Praesenti a mundi conditu anno 5533, qui salvatoris aetatis 33 exstat, circularium annorum 532, periodi 11, anno 213, Tiberii Caesaris 19, dominus noster et deus Christus Iesus, qui natura unigenitus et unius cum ingenito patre naturae, filius ante saecula, et spiritui eiusdem cum eo substantiae coaeternus, increatae et omnium opificis trinitatis una persona, post arcanum et deo congruum ex virgine ortum et baptismum in Iorda-



τὰς ἀπείρους θεοσημείας καὶ διδασκαλίας καὶ ἀποκαλύψεις τῶν P. 321
μυστηρίων τῆς οὐρανίου βασιλείας αὐτοῦ, πᾶσαν πληρώσας οἰκονομίαν, ἐπὶ τὸ σωτήριον πάθος πρόεισι ἑκουσίως κατὰ τὰς περὶ αὐτοῦ θείας προρρήσεις, καὶ πάσχει δι᾽ ἡμᾶς ὅσα περὶ αὐτοῦ φρικτὰ καὶ ἀπορρήτου συγκαταβάσεως γέμοντα τοῖς ἱεροῖς εὐαγγελισταῖς ἐπιτόμως ἱστόρηται, καὶ σταυροῦται ὁ ἀναμάρτητος τῇ κζʹ τοῦ Φαμενὼθ μηνὸς ἡμέρᾳ παρασκευῇ ἤτοι ϛʹ σαββάτου, Μαρτίου κγʹ, ὥρᾳ ἡμερινῇ ϛʹ, ἐν ὑπατείᾳ Νέρωνος τὸ τρίτον καὶ Βαλερίου Μεσσάλα. καὶ ταφεὶς ἀνίσταται τῇ τρίτῃ ἡμέρᾳ, Φαμενὼθ κθʹ ἤτοι Μαρτίου κεʹ, ἐπιφωσκούσης κυριακῆς μιᾶς σαββάτων, πρωῒ καλάνδων Ἀπριλλίων, αʹ τοῦ πρωτοκτίστου μηνὸς Νισὰν παρ᾽ Ἑβραίοις καὶ Χριστιανοῖς, περὶ ἧς εἴρηται· B
ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ πάλιν· αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς, περὶ ἧς καὶ ὁ θεοπάτωρ Δαβὶδ τὴν κοσμικὴν προανακρουόμενος σωτηρίαν μεμελῴδηκεν· αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ· περὶ ταύτης καὶ ἡμῖν ὁ πᾶς τοῦδε τοῦ γράμματος πόνος καταβέβληται, δεῖξαι τὴν αὐτὴν καὶ μίαν πρωτόκτιστον ἡμέραν σύστοιχον τῇ τοῦ θείου εὐαγγελισμοῦ καὶ τῆς ὑπερφυοῦς ἐξ ἁγίας παρθένου συλλήψεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἡμέρᾳ, καὶ τῇ τῆς ζωοποιοῦ ἐκ νεκρῶν ἀναστάσεως θεοειδεστέρᾳ καὶ ὁλοφώτῳ τοῖς ἀξίοις C

3. προΐη B. 4. ἡμᾶς] ἡμῶν G. 6. ἱστορεῖται G. ἀνμάρτητος B. 9. βαλερουσαμενσαλᾶ A. βαλερουσαμενσάλα B. Βαλλερουσαμενσαλᾶ G. Οὐαλερίου Μεσσάλα m. 11. σαββάτων] ὀκτὼ add. m. ἀπρηλίων B. 12. νισσᾶν A. νησσὰν B. Νισσὰν G.

nis fluento ab Ioanne susceptum, et innumera divina signa, documenta et regni eius caelestis mysteria revelata, adimpleto dispensationis cursu, iuxta vaticinia de eo divinitus pronunciata ad passionem salutis conciliatricem sponte processit et quae de eo horroris et arcanae pietatis plena sacris evangelii scriptoribus compendio sunt enarrata pro nobis patitur; nullique crimini obnoxius mensis Phamenoth die 27 Parasceues die, id est Sabbati 6, Martii 23, hora meridiei 6, Nerone tertium et Valerio Messala coss. crucifigitur; subinde sepultus tertio die resurgit Phamenoth 29, id est Martii 25 dominico, qui Sabbati primus est, illuscescente, octavo Calendas Apriles, Nisan iuxta Hebraeos pariter ac Christianos mensis, primo conditi die primo. De die illo scriptum est: „in principio fecit deus caelum et terram." Et rursum: „iste est liber generationis caeli et terrae, in die quo creavit illa deus;" de quo deiparens David in humanae salutis praeludium cecinit: „hic dies quem fecit dominus, exsultemus et laetemur in eo." In quem eundem operis istius labor omnis collimat, eo nimirum consilio, ut eum primum ac primo conditum diem alteri, qui annunciationis et ex sacra virgine supra naturam conceptus unigeniti filii dei est et alii denuo diviniori certe et ex omni parte lucido in spiritu et veritate illum celebrare dignis, vivificae, inquam, a mortuis resurrectionis diei ex aequo

ἑορτάζειν αὐτὴν ἐν πνεύματι καὶ ἀληθείᾳ. αὕτη Χριστιανοῖς ὀρ-
θοδόξοις πρῶτον πάσχα καλῶς ἐχρημάτισεν, οὐκ ἐν ζύμῃ παλαιᾷ
καὶ φυγῇ τοῦ κατ' Αἴγυπτον αἰσθητοῦ Φαραὼ καὶ τῶν αὐτοῦ
V. 256 πικρῶν ἐργοδιωκτῶν, ἀλλ' ἐν καταλήψει τῆς νοητῆς Αἰγύπτου
τῆς κακίας καὶ ἀγνοίας καὶ τοῦ ταύτης ἀρχηγοῦ διαβόλου, ὑπὲρ
τοὺς τύπους καὶ τὴν νομικὴν σκιὰν αὐτῷ τῷ ἀληθινῷ ἀμνῷ τοῦ
θεοῦ τῷ αἴροντι τὴν ἁμαρτίαν τοῦ κόσμου κατατρυφῶσιν ἔργῳ
καὶ λόγῳ. τὸ γὰρ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς καὶ τῇ
αὐτοῦ χάριτι καὶ ἀπολυτρώσει πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἐπει-
γομένοις διὰ σταυροῦ τῶν τῇδε παθῶν ἑκουσίου καὶ ταφῆς καὶ
D ἀναστάσεως, ἤτοι ταπεινώσεως μέχρι θανάτου, θανάτου δὲ
σταυροῦ, δι' ἧς ὁ πάσης δυνάμεως καὶ ἀρχῆς καὶ ἐξουσίας δη-
μιουργὸς, εὐδοκίᾳ τοῦ ἀγεννήτου πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου
καὶ ὁμοουσίου πνεύματος, πατήσας τὸν ἀδρανῆ ὑπερήφανον τύ-
ραννον ἐν τῇ τυραννουμένῃ ταπεινῇ φύσει τῶν ἀνθρώπων διὰ
βασκανίαν τὴν παρ' αὐτοῦ ἐξανέστησεν, οὐ μόνον τοῖς ἐξ Ἀδὰμ
ἐν Ἅιδῃ φρουρουμένοις πνεύμασι χαρισάμενος ἄφεσιν, ἀλλὰ
καὶ τοῖς ἐν σαρκὶ ζῶσι καὶ πιστεύσασιν αὐτῷ, ὡς ἐκ τῶν ἱερῶν
εὐαγγελίων ἐστὶ καταμαθεῖν· χαίρετε γὰρ, ταῖς γυναιξὶ πρώτῃ
φωνῇ, δι' ὧν ἅπασα λύπη τῷ γένει εἰσέφρησεν, προσεφθέγξατο,
P. 322 καὶ τοῖς ἱεροῖς μαθηταῖς, εἰρήνη ὑμῖν, ὁ πάσης εἰρήνης καὶ φι-
λοθέου στοργῆς αἴτιος, οὐ μόνον ταῖς λογικαῖς φύσεσιν, ἀλλὰ καὶ

7. τῷ αἴροντι] τοῦ αἴροντος G. 8. τῷ B. τὸ G. 9. ἐπειγο-
μένοις] ὑφηγεῖται addit m. 13. εὐδοκίᾳ B. εὐγενείᾳ G.
ἁγίου καὶ om. G. 14. καὶ ὑπερήφανον G. 16. αὐτοῦ] πα-
τουμένην φύσιν addit m. 22. ἀλλὰ καὶ B. ἀλλὰ A. ἀλλ' G.

respondere demonstremus. Christianis recta fide illustratis, qui non in fermento veteri, nec post Aegyptiaci Pharaonis oculis conspicui crudeliumque operis praefectorum fugam, sed deserta nequitiae et ignorantiae intellectuali Aegypto, nec non eius principe diabolo supra legalis umbrae figuras, ipsi vero dei agno peccatum mundi tollenti sermone et factis collaetantur, dies hic idem pascha primum nuncupatus est. Pascha enim nostrum pro nobis immolatus est Christus, et ad supernam Hierusalem eius gratia et redemptionis pretio contendentibus dux praebitus est, per crucem nimirum et labores hic sponte toleratos, per sepulturam et resurrectionem; hoc est per abiectionem usque ad mortem, mortem autem crucis, per quam virtutis omnis et principatus et potestatis opifex, ingeniti patris virtute et spiritus eiusdem naturae consortis ope, in oppressa depressaque hominum natura tyranno vere infirmo debellato naturam eandem fascinis eius delusam reparavit, nec modo spiritibus ex Adam genitis, et in inferno detentis, sed et in carne vivis et in eum credentibus, prout a sacris evangelistis edocemur, remissionem largitus est; gaudete namque mulieribus, per quas pernicies omnis in humanum genus illapsa est, et sacris discipulis, pax vobis, pacis omnis et sanctae iuxta deum dilectionis auctor annunciavit et



οὐρανῷ καὶ γῇ καὶ στοιχείοις καὶ πάσῃ κτίσει συντάξας τὸ εἶ-
ναι τῇ σχετικῇ ἀλληλουχίᾳ. ὁ δ' αὐτὸς θεὸς καὶ κύριος ἡμῶν
ἐπὶ τεσσαράκοντα τὰς ὅλας ἡμέρας ὀπτανόμενος καὶ λέγων τὰ
περὶ τῆς βασιλείας τῶν οὐρανῶν οὐ διέλειψε τοῖς ἑαυτοῦ μαθηταῖς,
ἡνίκα καὶ ἐπ' ὄψεσιν αὐτῶν εἰς οὐρανοὺς ἀνελήφθη ἐν τῷ ἁγίῳ
ὄρει τῶν ἐλαιῶν, τῇ αὐτῇ τεσσαρακοστῇ μετὰ τὴν ἁγίαν ἀνά-
στασιν ἡμέρᾳ ε' μὲν οὔσῃ τῆς ἑβδομάδος, τρίτῃ δὲ τῇ κατὰ Ῥω-
μαίους Μαΐου μηνός. ἔστιν οὖν, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ͵εφλδ'
ἔτος τοῦ κόσμου, καὶ τοῦτο πρῶτον ἄγον ἡμέραν ἔτος κυριακὴν,
τὸ πρῶτον κυριακὸν πάσχα Μαρτίου μηνὸς κε' κατὰ Ῥωμαίους, B
κατὰ δὲ Αἰγυπτίους Φαμενὼθ κθ', κατὰ δὲ τὰς θεοπνεύστους
παλαιὰς καὶ νέας γραφὰς Νισὰν πρῶτος πρωτόκτιστος ἡμέρα
τοῦ πρωτοκτίστου μηνὸς ὑπάρχουσα, καθ' ἣν ἡ ἐν Χριστῷ
καινὴ κτίσις ἀρξαμένη, πάντας εἰς ζωὴν ἐκ θανάτου μετήγαγε
τοὺς ὀρθῶς εἰς αὐτὸν πιστεύοντας.

## Ἀφρικανοῦ περὶ τῶν κατὰ τὸ σωτήριον πάθος καὶ τὴν ζωοποιὸν ἀνάστασιν.

C

Τὸ δὲ καθ' ἕκαστον τῶν πράξεων αὐτοῦ καὶ θεραπειῶν σωμάτων καὶ ψυχῶν καὶ τῶν τῆς γνώσεως ἀποκρύφων, ἀναστάσεώς τε τῆς ἐκ νεκρῶν αὐταρκεστάτοις πρὸ ἡμῶν μαθηταῖς τε καὶ ἀποστόλοις αὐτοῦ δεδήλωται. καθ' ὅλου τοῦ κόσμου σκό-

5. καὶ om. G. ἐπόψεσιν AB. 6. ἀναστάσιν B. ἀναστάσιμον G. 7. ε' B. πέμπτῃ G. τῇ om. G. 11. κατὰ δὲ m. κδ' κατὰ δὲ G. 12. νισσᾶν A. νησσὰν B. Νισσὰν G. 13. ἡ om. G. 18. θεραπιῶν B. 20. αὐταρκεστάτως Scaliger p. 77.

non naturis duntaxat ratione praeditis, sed caelo quoque et terrae et elementis et creaturis omnibus mutua ad invicem cohaerentia durationem et salutem largitur. Idem vero deus et dominus noster diebus integris quadraginta discipulis visus, et de regno dei frequenter eos alloquutus, nusquam eis defuit, donec sub eorum conspectu in sacro olivarum monte die a resurrectione quadragesimo, qui hebdomadis fuit 5, Martii vero 3, in caelum assumptus est. Ut summatim itaque perstringam, annus hic est ab orbe condito 5534 a dominico etiam die cursum iniens, dominicum, inquam, primum pascha; dies quoque mensis apud Romanos Martii 25, Phamenoth Aegyptiorum 29, et iuxta caelitus inspiratas novi veterisque testamenti scripturas Nisan mensis primo conditi primus et primo conditus, qui nova exoriente creatura omnes in deum recte credentes e morte in vitam asseruit.

## Ex Africano de iis, quae in salutari Christi passione et vivifica resurrectione contigerunt.

Gesta sane illius singula, corporum animarumque curationes, praedicationis resurrectionisque a mortuis recondita quaeque secreta discipulis apostolisque illius nobis antiquioribus satis innotuere. Horribiles tenebrae

τος ἐπήγετο φοβερώτατον, σεισμῷ τε αἱ πέτραι διερρήγνυντο καὶ τὰ πολλὰ Ἰουδαίας καὶ τῆς λοιπῆς γῆς κατερρίφθη. τοῦτο τὸ σκότος ἔκλειψιν τοῦ ἡλίου Θάλλος ἀποκαλεῖ ἐν τρίτῃ τῶν ἱστοριῶν, ὡς ἐμοὶ δοκεῖ, ἀλόγως. Ἑβραῖοι γὰρ ἄγουσι τὸ πάσχα κατὰ σελήνην ιδʹ, πρὸ δὲ μιᾶς τοῦ πάσχα τὰ περὶ τὸν σωτῆρα
D συμβαίνει. ἔκλειψις δὲ ἡλίου σελήνης ὑπελθούσης τὸν ἥλιον γίνεται· ἀδύνατον δὲ ἐν ἄλλῳ χρόνῳ, πλὴν ἐν τῷ μεταξὺ μιᾶς καὶ τῆς πρὸ αὐτῆς κατὰ τὴν σύνοδον αὐτὴν ἀποβῆναι. πῶς οὖν ἔκλειψις νομισθείη κατὰ διάμετρον σχεδὸν ὑπαρχούσης τῆς σε-
V. 257 λήνης ἡλίῳ; ἔστω δή, συναρπαζέτω τοὺς πολλοὺς τὸ γεγενημένον καὶ τὸ κοσμικὸν τέρας ἡλίου ἔκλειψις ὑπονοείσθω ἐν τῇ κατὰ τὴν ὄψιν. Φλέγων ἱστορεῖ ἐπὶ Τιβερίου Καίσαρος ἐν πανσελήνῳ ἔκλειψιν ἡλίου γεγονέναι τελείαν ἀπὸ ὥρας ἕκτης μέχρις ἐνάτης, δηλῶν ὡς ταύτην. τίς δ' ἡ κοινωνία σεισμῷ καὶ ἐκλείψει, πέ-
P. 323 τραις ῥηγνυμέναις καὶ ἀναστάσει νεκρῶν τοσαύτῃ τε κινήσει κοσμικῇ; ἐν γοῦν τῷ μακρῷ χρόνῳ τοιοῦτόν τι συμβὰν οὐ μνημονεύεται, ἀλλ' ἦν σκότος θεοποίητον, διότι τὸν κύριον συνέβη παθεῖν, καὶ λόγος αἱρεῖ ὅτι ἑβδομήκοντα ἑβδομάδες εἰς τοῦτον συναιροῦνται τὸν χρόνον ἐν τῷ Δανιήλ. καὶ μεθ' ἕτερα· ἀπὸ δὲ Ἀρταξέρξου αἱ οʹ ἑβδομάδες εἰς τὸν ἐπὶ Χριστοῦ συντελοῦνται

1. Vulgo ἐπείγετο. Scaliger ἐπεγένετο. τε B. δὲ G. 2. τῆς Ἰουδαίας G. κατερρίφθη B. κατερρίφη G. 11. ἐν τῇ B. ἔν τε G. 13. τελεία A. 14. δηλῶν] δῆλον G et Scaliger p. 77. 15. τοσαύτη B. κίνησις κοσμική AB. 20. αἱ οʹ B. ἑβδομήκοντα G.

orbi universo incubuere; petrae terrae motu discissae, pluraque per Iudaeam et regiones reliquas aedes in solum deiectae sunt. Tenebras huiusmodi solis defectum vocat Thallus historiarum libro tertio, et me quidem iudice, nullo fundamento. Hebraei quippe luna 14 pascha celebrant; at certe paschalem solemnitatem die praeeunte, quae passionem spectant a salvatore tolerata fuere; solis vero defectus nonnisi luna solem subeunte cernitur. Verum cum non alio temporis momento praeterquam eo quod lunae veteris diem ultimum et renovandae primum contingit, in ipso nimirum utriusque sideris congressu eclipsin ingruere observemus, qua ratione censebitur eclipsis sole oppositam lunae caeli partem tenente? Esto tamen, rapiat post se quos volet et inter alia toti orbi manifesta unum hoc solis deficientis ex oculorum iudicio portentum numeretur; sane luna toto orbe radiante ab hora diei 6 ad 9 usque integram solis eclipsin Tiberio Caesare imperante contigisse narrat Phlegon; eam utique de qua nobis sermo. Verum enim vero quae tanta est cum terrae motu et eclipsi diruptis saxis et resurrectioni mortuorum tantaeque creaturarum omnium perturbationi societas? Certe longa retro annorum serie simile quid nulla reperimus accidisse memoria. Erunt itaque novum dei opus illae tenebrae ipso mundi domino patiente exortae. Septuaginta vero hebdomades a Daniele memoratas hoc tempore complendas et terminum attigisse ratio convincit. Et quibusdam interiectis: ab Artaxerxis autem imperio ad aetatem usque Christi ex He-



χρόνον κατὰ τοὺς Ἰουδαίων ἀριθμούς. ἀπὸ γὰρ Νεεμίου, ὃς ὑπ' Ἀρταξέρξου τὴν Ἱερουσαλὴμ ἀνοικίσων ἐπέμφθη, ἐπὶ τὸ κʹ καὶ ρʹ τῆς Περσῶν βασιλείας, αὐτοῦ δ' Ἀρταξέρξου κʹ ἔτει, ὀλυμπιάδος πγʹ ἔτει δʹ. ἐπὶ τούτων τῶν χρόνων, ὅς ἦν ὀλυμπιάδος σβʹ ἔτος δεύτερον, Τιβερίου δὲ Καίσαρος ἡγεμονίας ἔτος ιϛʹ, B
ἔτη συνάγεται υοεʹ, ἅπερ Ἑβραϊκὰ υϟʹ ἔτη γίνεται κατὰ τὸν σεληνιαῖον μῆνα τοὺς ἐνιαυτοὺς ἐκείνων ἐξαριθμουμένων, ὡς ἔστι πρόχειρον εἰπεῖν ἡμερῶν κθʹ καὶ ἡμισείας, τοῦ κυκλικοῦ ἐνιαυτοῦ τοῦ καθ' ἥλιον ὑπάρχοντος ἡμερῶν τξεʹ δʹ, τὴν κατὰ σελήνην δωδεκάμηνον παραλλάσσειν ἡμέρας ιαʹ καὶ δʹ. διὰ τοῦτο καὶ Ἕλληνες καὶ Ἰουδαῖοι τρεῖς μῆνας ἐμβολίμους ἔτεσιν ηʹ παρεμβάλλουσιν. ὀκτάκις γὰρ τὰ ιαʹ καὶ τέταρτον ποιεῖ τρίμηνον. τὰ τοίνυν υοεʹ ἔτη ὀκταετίαι μὲν γίνονται νθʹ καὶ μῆνες τρεῖς, ὡς τριμήνου ἐμβολίμου τῇ ὀκταετίᾳ γινομένης, ἔτη συνάγεται ιεʹ, C
ταῦτά τε πρὸς τοῖς υοεʹ ἔτεσιν οʹ ἑβδομάδες. μὴ δή τις ἡμᾶς τῶν κατ' ἀστρονομίαν ἀριθμῶν ἀπείρους εἶναι νομιζέτω, τξεʹ ἡμερῶν καὶ τετάρτου μορίου προτεταχέναι αὐτήν. οὐδὲ γὰρ ἀγνοίᾳ τἀληθοῦς, διὰ δὲ τὴν λεπτολογίαν τὸ ψηφιζόμενον συντέμομεν. τοῖς δὲ ἐπ' ἀκριβὲς πάντα πειρωμένοις ἐξετάζειν καὶ τοῦθ' ὡς ἐν βραχεῖ παρακείσθω. τὸ μὲν ἔτος ἐπίπαν ἕκαστόν

2. ἀνοικήσω (sic) B. ἐνοικήσων A. οἰκήσων G. ιεʹ καὶ ρʹ] εἰκοστὸν καὶ ἑκατοστὸν G. 3. κʹ ἔτει] κʹ ἔτη A. 5. σβʹ Scaliger p. 77. Vulgo ρβʹ. Τιβερίου δὲ Scaliger. Vulgo δὲ Τιβερίου. 9. τὴν om. G. 10. παραλλάσσοντος Scaliger. 14. γινομένης] προσγινομένου m. 16. τῶν om. G. 20. ἐν om. G. βραχεῖ B. γραφῇ G. παρακείσθω B et codex Barberin. ap. Goarum. παραθέσθαι G. ἐπὶ πᾶν Barber.

braeorum computo septuaginta numerantur hebdomades. A Neemia quippe qui sub Artaxerxe Hierusalem suis incolis instauraturus circa imperii Persarum annum vicesimum supra centesimum ipsius videlicet Artaxerxis 20 et ab Olympiadis 83 anno 4 ad hoc usque tempus et Olympiadis 202 annum 2, Tiberii vero Caesaris annum 16, alii anni 475 putantur; qui Hebraeorum annis 490, illis nimirum annos lunaribus mensibus dierum 29 cum medio conflatos, quod demonstrare facile est, recensentibus, coaequantur; solaris quippe anni periodus diebus 365 cum quadrantis appendice conficitur; lunaris autem mensibus licet 12 composita diebus 11 et quadrante variare deprehenditur; quae causa est ut menses tres insititios annis octo evolutis Graeci Iudaeique interponant; octo siquidem per undecim cum quadrante ducta spatium trimestre componunt. Anni itaque 475 per octennia 59 et menses tres dividuntur; ex trimestribus itaque unicuique octoeteridi intercalatis anni quindecim colliguntur, quos si annis 475 addideris, dubio procul hebdomades 72 colliges. Nemo itaque nos ceu praeceptis astronomiae parum imbutos arguat, qui annum diebus 365 et quadrante componi iam statuimus; non ex veritatis quippe inscitia, quin immo exquisitas potius astronomiae minutias sectati relatam summam in hunc modum subduximus; accuratiorem vero omnium notitiam consequi cupidis, quod sequitur etiam tanquam in tabula repraesentetur. Annorum unusquisque dierum omnino 365

ἐστιν ἡμερῶν τξε' καὶ ἡμέρας καὶ νυκτὸς εἰς ἐννεακαιδέκατον
διαιρεθείσης μέρη τούτων τὰ ε'. μεταξὺ δὲ τοῦ λέγειν τὸν ἐνι-
αυτὸν ἡμερῶν τξε' καὶ τετραμορίου καὶ τῶν ἀπὸ ιθ' τῆς νυχθη-
μέρου μερῶν ε' εἰς τὰ νοε' ** ἡμέραι τὸ παράλληλόν εἰσιν ϛ' καὶ
D τετραμόριον. ἔτι γε μὴν τὸν τῆς σελήνης μῆνα κατὰ τὴν ἀκριβῆ
λεπτολογίαν εὑρίσκομεν κθ' καὶ ἡμισείας ἡμέρας καὶ νυκτὸς διαι-
ρεθείσης εἰς μέρη σε'. τούτων τὰ ο' καὶ ἥμισυ ἃ γίνεται ἐνενη-
κοστοτέταρτα τρία. καὶ ταῦτα περὶ ὀλίγων χρόνων καταγίνεται.
συμβαίνει δὲ τῶν ἀπὸ Ἀρταξέρξου βασιλείας ἔτους κ', ὡς ἐν τῷ
Ἔσδρᾳ παρ' Ἑβραίοις, ὅπερ καθ' Ἕλληνας ἦν ὀλυμπιάδος ὀγδοη-
κοστῆς τέταρτον ἔτος, μέχρις ἕκτου καὶ δεκάτου Τιβερίου Καί-
σαρος, ὅπερ ἦν ὀλυμπιάδος σβ' ἔτος δεύτερον, ἐπισυνάγεσθαι
P. 324 τὰ προειρημένα νοε', ἃ γίνεται καθ' Ἑβραίους ἔτη υϟ', ὡς προ-
είρηται, τοῦτ' ἔστιν ἑβδομάδες ο', καθὰ προεφητεύθη τῷ Δα-
νιὴλ ὑπὸ τοῦ Γαβριὴλ ἡ Χριστοῦ παρουσία. εἰ δέ τῳ δοκεῖ τὰ
ιε' ἔτη τὰ Ἑβραϊκὰ πλάνην ἐγγεννᾶν μετ' ἐκεῖνα εἰς ἡμᾶς ἔτη ι'
ἐγγὺς, καὶ οὐδὲν ἐν μέσῳ παράδοξον ἱστόρηται. δύναται δὲ καὶ
V. 258 ἡ μία καὶ ἡμίσεια ἑβδομὰς, ἣν ἐπὶ συντελείᾳ παραλαμβάνεσθαι
δεῖν ὑπονοοῦμεν, παρηγορεῖν τὸν ἐπιζητούμενον τῶν ιε' ἐτῶν καὶ

1. εἰς] καὶ εἰς B. 2. ε'] πέντε G. πάντα Barber. 4. Lacunam indicavit Scaliger. 7. Post ἥμισυ G lacunam indicavit. 7. ἐνενηκοστῷ τέταρτα A. ἐνενηκοστὰ τέταρτα Scaliger. 8. περὶ ὀλίγον χρόνον G. παρ' ὀλίγον χρόνον Scaliger. 10 Vulgo ὀγδοηκοστῷ τετάρτῳ. Correxit Scaliger. 16. ἐγγεννᾶν B. ἐγεννᾶν G. ι'] „διακόσια Barber." Goar. σ' B. 19. τὸν B. τὸ G.

numerum intercipit; diei vero et noctis spatio per decemnovennale distributo quinariam eius partem dividentem esse percipimus. Interim vero cum annum diebus 365 et quadrante componi, et ex decemnovennalis quotientis partibus quinque . . . . . . . . . . . post annos 475 dies sex cum quadrante ex aequo respondentes emergunt. Insuper vero mensem lunarem dies 29 et medium ad numerandi exquisitiorem peritiam includere reperimus; dieique ac noctis intervallo in partes 215 distributo harum 71 cum media . . . . . . . . . . quae nonagesima quarta tria conficiunt habemus. Et haec brevi temporis spatio colliguntur. Ab Artaxerxis autem imperii anno vigesimo (cuius Esdras Hebraeis laudatus auctor testis est) qui Graecanicae Olympiadis 84 quartus fuit, ad Tiberii Caesaris annum decimum sextum, qui Olympiadis 202 anno 4 aequalis est; annos Iulianos 475 supra memoratos, qui Hebraeos 490 iuxta praemissa, componunt, numerantur, id est hebdomades 70, post quas Christi adventus a Gabriele Danieli praenunciatus est. Hebraici vero anni quindecim aliis adiecti annorum saltem errorem licet non nemini videantur invehere; certe dubium hoc in medium nihil absurdi proferre indubius sum. At quam commode hebdomas una et altera media (quam ad numeri complementum assumendam coniicimus) de annis 15 quaestioni factae medeatur, et terminum reddat breviorem, uno



κουφίζειν χρόνον, ὅτι τε συμβολικώτερον αἱ προφητεῖαι ἐξενη-
νεγμέναι τυγχάνουσι δῆλον. ὁπόσον δὲ ἐφ' ἡμῖν, ὀρθῶς οἶμαι
τὴν γραφὴν ἐδεξάμεθα, ἐπεὶ καὶ συναιρεῖσθαί πως ἡγουμένη τῆς
ὀπτασίας περικοπὴ δοκεῖ, ἧς ἡ ἀρχή· ἐν ἔτει τρίτῳ τῆς βασιλείας
Βαλτάσαρ· ἔνθα περὶ τῆς καθαιρέσεως τῆς Περσῶν ἀρχῆς ὑφ' B
Ἑλλήνων προδηλοῖ, ἣν διὰ τοῦ κριοῦ καὶ τοῦ τράγου προδηλοῖ,
ἡ θυσία, φησὶν, ἡ ἀρθεῖσα καὶ τὰ ἅγια ἐρημωθήσεται εἰς κα-
ταπάτημα, ἅπερ εἰς ͵βτ' ἡμέρας περιγραφήσεται. εἰ γὰρ εἰς μῆνα
τὴν ἡμέραν λογισαίμεθα, ὡς ἀλλαχοῦ κατὰ προφητείαν εἰς ἐνι-
αυτοὺς αἱ ἡμέραι παραλαμβάνονται, καὶ ἄλλως ἀλλαχόθι, ἀνα-
λύσαντες ὁμοίως τοῖς πρὸ τούτου εἰς μῆνας τοὺς Ἑβραϊκοὺς,
εὕροιμεν ἂν κ' τῆς Ἀρταξέρξου βασιλείας ἀπὸ τῆς ἁλώσεως Ἱε-
ρουσαλὴμ συντελούμενον τὸν χρόνον. ἔτη γὰρ συνάγονται ρπε'
καὶ ἐνιαυτὸς εἷς, ἐν ᾧ τὴν πόλιν ἐτείχισεν ὁ Νεεμίας. τοὺς οὖν
ρπϛ' ἐνιαυτοὺς μῆνας εὑρίσκομεν ͵βτ' Ἑβραϊκοὺς, τῆς ὀκταετίας C
ἀκολούθως τοὺς πρὸς τούτοις ἐμβολίμους τρεῖς μῆνας προσλαμβα-
νούσης. ἀπὸ δὲ Ἀρταξέρξου, ὅθεν ὁ λόγος ἐξῆλθεν, οἰκοδομη-
θῆναι Ἱερουσαλὴμ ο' ἑβδομάδες συντελοῦνται. ἰδίᾳ δὲ περὶ τού-
των καὶ ἀκριβέστερον ἐν τῷ περὶ ἑβδομάδων καὶ τῆσδε τῆς προ-
φητείας ἀπεδείξαμεν. θαυμάζω δὲ Ἰουδαίων μὲν μήπω φασκόν-
των ἐληλυθέναι τὸν κύριον, τοὺς ἀπὸ Μαρκίωνος δὲ ἀπὸ τῶν

Eusebius historiae ecclesiasticae libro secundo scribit Agrippam nominis istius primum, Herodem quoque, ita testantibus apostolorum actibus, dictum, ut quosdam ex ecclesia affligeret, manus immisisse, Iacobum et Ioannis fratrem gladio percussisse; de quo Clemens Hypotyposeon septimo ait: cum is qui Iacobi nomen ad iudicium detulerat, fidei testimonium reddentem cerneret, Christianum quoque se esse professus est. Utroque igitur, inquit, ad necem abducto, hic ab Iacobo criminis veniam per viam expetiit. Cui Iacobus nonnihil prius cogitans, pax tibi, respondit; quo dicto osculum dedit, atque ita simul capite truncati sunt. Iacobi morte Iudaeorum animos sibi devinxisse contemplatus Herodes, Petrum aggreditur, vinculisque traditum occidisset, nisi inexspectata angeli ope liberatus custodia

λυθεὶς καὶ τῆς φρουρᾶς ἐξηνέχθη. ἀλλ᾽ εἰ μὲν περὶ τοῦ πρώτου ἐπισκόπου Ἱεροσολύμων ταῦτα νοεῖται Ἰακώβου τοῦ ἀδελφοθέου, ἀντιπίπτει τῷ ἱστοροῦντι λόγῳ κατὰ τὸ η′ ἔτος Νέρωνος, ὅπερ ἦν τῆς αὐτοῦ ἐπισκοπῆς ἔτος που λ′, λίθοις ὑπὸ Ἰουδαίων καὶ γναφικῷ ξύλῳ ἀναιρεθῆναι, ἀπὸ τοῦ πτερυγίου καταβληθέντα,
C ὡς καὶ αὐτὸς Εὐσέβιος ἐν τῷ κανόνι παρέθετο· εἰ δὲ περὶ ἄλλου, ὑγιὴς ὁ λόγος.

V. 267

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφνγ′.

### Τῆς θείας σαρκώσεως ἔτη νγ′.

### Εὐσεβίου ἐκ τοῦ β′ λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας.

Περὶ τῶν κατὰ τὸν μακάριον Παῦλον καὶ Ἰάκωβον τὸν ἀδελφόθεον.

Τούτου δὲ Φῆστος διάδοχος ὑπὸ Νέρωνος πέμπεται, καθ᾽ ὃν δικαιολογησάμενος ὁ Παῦλος δέσμιος ἐπὶ Ῥώμην ἄγεται. Ἀρίσταρ-
D χος αὐτῷ συνῆν, ὃν καὶ εἰκότως συναιχμάλωτόν που τῶν ἐπιστολῶν γράφει παραδοὺς ἐν τούτοις καταλῦσαι τὴν ἱστορίαν, διετίαν ὅλην ἐπὶ τῆς Ῥώμης τὸν Παῦλον ἄνετον διατρῖψαι καὶ τὸν τοῦ θεοῦ λόγον ἀκωλύτως κηρῦξαι ἐπισημηνάμενος. τότε μὲν

1. περὶ BP. πρῶ G. 5. ἀπὸ] ὑπὸ B. 9. Aberat ἔτη. ἔτος add. B. 10. β′] Cap. 22. 11. τῶν B. τὸν G. 13. φῖστος A. φίστος B. 15. που τῶν] Vulgo πάντων. Correctum ex Eusebio. 16. γράφει παραδοὺς] Apud Eusebium est ἀποκαλεῖ· καὶ Λουκᾶς δὲ ὁ τὰς πράξεις τῶν ἀποστόλων γραφῇ παραδούς. καταλῦσαι] κατέλυσε Eusebius.

quoque fuisset eductus. Quae certe si de primo Hierosolymorum episcopo Iacobo fratre domini narrata putet non nemo, is historiae octavo Neronis anno, qui episcopatus Iacobi 30 fuit, lapidibus eum et fullonis fuste contusum, et e templi fastigio praecipitem actum, ut Eusebius quoque in canone tradidit, referenti adversabitur; sin de alio intellecta velit, eius sententia sana est.

## ANNI MUNDI 5553.

### Divinae Incarnationis an. 53.

### Ex Eusebii libro secundo de ecclesiastica historia.

De B. Pauli et Iacobi domini fratris rebus gestis.

Huius (Felicis) successor Festus a Nerone mittitur, ad cuius tribunal, causae propriae defensione suscepta, Paulus vinculis traditus Romam deducitur. Aderat ei Aristarchus, quem concaptivum aliquo epistolarum suarum loco iure nuncupat. Lucas autem actuum apostolorum auctor historiae ad hoc tempus deductae finem imponit, cum demum Paulum vinculis liberum biennio integro Romae moratum et nullo resistente dei verbum



οὖν ἀπολογησάμενον αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι τὸν ἀπόστολον, δεύτερον δὲ ἐπιβάντα τῇ αὐτῇ πόλει τῷ κατ᾽ αὐτὸν τελειωθῆναι μαρτυρίῳ. ἐν ᾧ δεσμοῖς ἐχόμενος τὴν πρὸς Τιμόθεον δευτέραν ἐπιστολὴν συντάττει, ὁμοῦ σημαίνων τὴν προτέραν αὐτῷ γενομένην ἀπολογίαν καὶ τὴν παρὰ πόδας τελείωσιν. δέχου δὴ περὶ τούτων τὰς αὐτοῦ μαρτυ- P. 336
ρίας. ἐν τῇ πρώτῃ μου, φησὶν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη. ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέ με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσωσι πάντα τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. σαφῶς δὲ παρίστησι διὰ τούτων ὅτι δὴ τὸ πρότερον, ὡς ἂν τὸ κήρυγμα δι᾽ αὐτοῦ πληροφορηθῇ καὶ ἀκούσωσι πάντα τὰ ἔθνη, ἐρρύσθη ἐκ τοῦ στόματος λέοντος· τὸν Νέρωνα ταύτῃ, ὡς ἔοικε, διὰ τὸ ὠμόθυμον προσειπών. οὐκοῦν ἑξῆς προστέθεικε παραπλήσιόν τι τὸ, ῥύσεταί με ἐκ στόματος λέοντος. ἑώρα γὰρ τὴν οὔπω μέλλουσαν αὐτοῦ τελευτήν· B
διό φησι καὶ ῥύσεταί με ἐκ στόματος λέοντος ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, σημαίνων παραυτίκα μαρτύριον, ὃ καὶ σαφέστερον ἐν τῇ αὐτῇ προλέγει γραφῇ φάσκων, καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκεν.

1. Vulgo ἀπολογησάμενος. Correxi ex Eusebio. 2. λόγος ἔχει addidi ex B et Eusebio. 6. δὴ] δὲ G. αὐτοῦ] Timoth. II. 4, 16. 7. τῇ om. B. 8. ἐγκατέλειπον B. 14. ταύτῃ P. ταύτην G. 15. προστέθεικεν B. προστέθηκεν G. 16. ἑώρα γὰρ addidi ex B. 17. ἐκ] ἐκ τοῦ G.

praedicasse testatus est. Eo tempore causa pro se rursum dicta ad praedicationis ministerium, aiunt, apostolus missus est; et eandem urbem secundo repetens in ea martyrio fuit consummatus. Is vinculis adhuc detentus epistolam ad Timotheum scribit secundam, in quam priorem suam defensionem et imminentem e vita excessum insinuat. Accipe vero eiusdem de istis testimonia. „In defensione mea priore," scribit, „nullus mihi adfuit, sed omnes me dereliquerunt. Ne illis imputetur. Dominus mihi adstitit et confortavit me, ut per me praedicatio impleatur et audiant omnes gentes, ex ore leonis liberatus sum." Quibus sane praemissa liquidius manifestat; praedicationis nimirum muneri adimplendo et gentibus cunctis dei verbum edocendis sese de ore leonis ereptum. Eo porro vocabulo, ni fallor, Neronem propter communem utrique animi ferocitatem appellat, qua de causa simile quid subinfert, liberabit me de ore leonis; vitae namque terminum praevidebat imminentem: ac idcirco, „liberabit me," inquit, „dominus de ore leonis, ab omni opere malo et salvum faciet in regnum suum caeleste;" quo non procul distans martyrium declaravit, quod manifestius eadem epistola praedicit, scribens in haec verba: „tempus resolutionis meae instat."

Ἱεροσολύμων ἐπίσκοπος β' Συμεὼν, ὁ καὶ Σίμων, υἱὸς τοῦ Κλεόπα ἔτη κγ'.

Τῆς Ἀλεξανδρέων ἐκκλησίας μετὰ Μάρκον τὸν εὐαγγελιστὴν πρῶτος ἐπίσκοπος Ἀνιανὸς ἐχειροτονήθη, ὃς προέστη ἔτη κβ'.

C Ῥωμαίων ς' ἐβασίλευσε Νέρων ἔτη ιγ'.

ΚΟΣΜΟΥ ΕΤΗ ͵εφνγ'.

Τῆς θείας σαρκώσεως ἔτη νγ'.

Νέρων ἀνεῖλε τὴν ἑαυτοῦ μητέρα Ἀγριππῖναν καὶ τὴν τοῦ πατρὸς ἀδελφήν.

Ἐν Ῥώμῃ σεισμὸς μέγας ἐγένετο.

Νέρων ἐπὶ Ῥώμης κιθαρίζων ἐνίκησε.

Κατὰ τῆς Νέρωνος τραπέζης κεραυνὸς ἔπεσεν.

Ἐμπρησμοὶ γεγόνασι πολλοὶ ἐν Ῥώμῃ, πόλεις τε τῆς Ἀσίας κατέπεσον τρεῖς, Λαοδίκεια, Ἱεράπολις καὶ Κολοσσαί.

V. 268
D

Τὰ ὑπόλοιπα Ἰουδαίων.

Πέμπτος ἀλλόφυλος Ἀγρίππας ἔτη δύο. Φῆστος διάδοχος Φήλικος ὑπὸ Νέρωνος ἐπέμφθη, ἐφ' οὗ ὁ θεῖος Παῦλος, παρόντος καὶ Ἀγρίππα τοῦ βασιλέως Ἰουδαίων, ἀπολογησάμενος δέσμιος εἰς Ῥώμην ἐκπέμπεται.

2. κλεόπα B. Κλεοπάτρα G. 3. Ἀλεξανδρείας G. 4. ἐχειροτονήθη Αἰνιανὸς G. ἀνιανὸς BP. αἰνιανὸς AG. 7. Vulgo ἔτει. ἔτος AB. 14. Κολοσσαί] λοσσαί B. 16. Πέμπτος — δύο delet m. φῖστος A. φίστος B. Et similiter infra. 17. φίλικος AB.

Hierosolymorum episcopus 2 Symeon, qui et Simon, Cleopae filius annis 23.

Alexandrinae ecclesiae post Marcum evangelistam primus episcopus ordinatus est Anianus, qui praefuit annis 22.

Romanorum Imperator 6 Nero annis 13.

ANNI MUNDI 5553.

DIVINAE INCARNATIONIS AN. 53.

Matrem Agrippinam et patris sororem Nero interfecit.

Romae terrae motus ingens.

Nero Romae citharae certamine victor declaratus.

Fulmen in Neronis mensam lapsum.

Romae plura incendia, urbes quoque tres corruere in Asia, Laodicea, Hierapolis et Colossae.

Quae Iudaeos spectant reliqua.

. . . . . . . . Festus in Felicis locum a Nerone subrogatur; eodem una cum Agrippa Iudaeorum rege praesente divinus Paulus defensione habita, Romam vinctus mittitur.



Φῆστον Ἀλβῖνος διεδέξατο.

Ἀλβῖνον Γέστιος Φλῶρος διεδέξατο.

Ἰουδαῖοι Ῥωμαίων ἀπέστησαν ἐπὶ Γεστίου Φλώρου διὰ πλεονεξίαν αὐτοῦ ἄμετρον. ἐφ' οὓς ὁ Νέρων Οὐεσπασιανὸν ἐξέπεμψε στρατοπεδάρχην πολλὰ τῆς Ἰουδαίας ἀγανακτησάμενος.

Σημειωτέον ἐκ τῶν ἀποστολικῶν ῥητῶν ὅτι δεύτερον ὁ θεῖος P. 337 Παῦλος παρέστη τῷ Καίσαρι ἐν Ῥώμῃ. καὶ τὸ μὲν πρῶτον ὁ Νέρων ἠπιώτερόν πως διακείμενος κατὰ τοῦ Χριστιανῶν δόγματος, ἀκούσας αὐτοῦ τὴν ἀπολογίαν ἀπέλυσεν, οἰκονομοῦντος τοῦ σωτῆρος τελειωθῆναι τοῖς πᾶσι δι' αὐτοῦ τὸ κήρυγμα, ὡς αὐτός φησιν ἐν τῇ πρὸς Τιμόθεον β' ἐπιστολῇ, ὅτε δὴ καὶ τὸν Λουκᾶν γράφει συνεῖναι, ὃς τὰς τῶν ἀποστόλων πράξεις εἰς ταύτην περιέγραψε τὴν πρώτην ἀπολογίαν τοῦ Παύλου ἐλθεῖν, καὶ συνὴν αὐτῷ, ὡς ἔοικε, σιωπήσας τὸν περὶ τοῦ μαρτυρίου αὐτοῦ λόγον, καθ' ὃν οὐ παρῆν, δηλονότι τὸ δεύτερον τοῦ μακα- B ρίου Παύλου ἐξ οἰκείας αἰτήσεως ἀναπεμφθέντος ἀπὸ Καισαρείας τῆς Παλαιστίνης ὑπὸ Φήστου πρὸς Νέρωνα, καὶ τὸ δεύτερον παραστάντος αὐτῷ καὶ τελειωθέντος τῷ δι' αἵματος μαρτυρίῳ. ὅθεν Ἰουδαῖοι τῆς κατ' αὐτοῦ ἐπιβουλῆς τοῦ ἀνελεῖν αὐτὸν ἀστοχήσαντες ἐπὶ τὴν ἀναίρεσιν Ἰακώβου τοῦ ἀδελφοθέου τρέπονται· περὶ ἧς Ἡγήσιππος ἀξιόλογος μαθητὴς τῶν ἀποστόλων τάδε φησὶν ἐν ε' ὑπομνήματι.

2. Γέστιος Φλῶρος Ἀλβῖνον G. Γέστιος] Κέστιος m. Et Cestius scribitur apud Eusebium p. 375. 5. στρατοπεδάρχην ἐξέπεμψεν G. ἀγανακτησόμενος B. in pristinum revocavit (Vespasianus) Eusebius. Ergo ἀνακτησάμενον. 8. πως] που G. 11. δὴ] δὲ B. 12. γράφη B. ὃς addidi ex B. 13. περιέγραψεν BP. περιγράψας G. ἐλθεῖν delet m. 17. φίστου AB. 20. τοῦ ἰακώβου τοῦ A.

Festum excipit Albinus.

Cestius Florus Albino succedit.

Cestii inexplebilem avaritiam causati Iudaei a Romanis deficiunt; in quos Vespasianum belli ducem iratus Nero expedit.

Ex ipsis apostoli dictis observa divinum Paulum Romae iterato Caesari adstitisse. Et primo quidem Christianis haud male affectus Nero, Pauli defensione audita (in hunc modum salvatore disponente, ut per eum verbi praeconium perficeretur) liberum eum dimisit, ut ipse secunda ad Timotheum scripta testatur, qua Lucam quoque secum moratum asserit. Hac Pauli defensione memorata apostolorum actibus Lucas finem imponit. Erat utriusque convictus communis, ut videtur. Et martyrium quidem eius, cui non aderat, silentio praeteriit, cum nimirum a Caesarea Palaestinae ad Neronem a Festo mitti beatus ipse Paulus expetiit, ac subinde eius tribunali secundo praesentatus, martyrium fuso sanguine consummavit. Quare Iudaei inanem structurarum illi insidiarum vim conspicati, ad inferendam Iacobo fratri domini necem vertuntur; de qua Hegesippus eximius apostolorum discipulus commentario 5 haec habet.

### Ἡγησίππου μαθητοῦ τῶν ἀποστόλων ἐκ τοῦ ε' ὑπομνήματος περὶ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου.

C Διαδέχεται τὴν ἐκκλησίαν μετὰ τὴν τῶν ἀποστόλων ὁ ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων δίκαιος, ἀπὸ τῶν τοῦ Χριστοῦ χρόνων μέχρι καὶ ἡμῶν, ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. οὗτος δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν. οἶνον καὶ σίκερα οὐκ ἔπιε, καὶ ἔμψυχον οὐκ ἔφαγε, καὶ ξυρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη, ἔλαιον οὐκ ἠλείψατο καὶ βαλανείῳ οὐκ ἐχρήσατο. τούτῳ μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι· οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σινδόνας, καὶ μόνον ὅτε εἰσήρχετο εἰς τὸν ναόν. ηὑρίσκετό τε κείμενος ἐπὶ τοῖς γόνασι, καὶ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν, ὡς ἀπεσκληκέναι τὰ γόνατα αὐτοῦ δίκην κα-D μήλου, διὰ τὸ ἀεὶ κάμπτειν ἐπὶ γόνυ προσκυνοῦντα τῷ θεῷ, καὶ αἰτεῖσθαι ἄφεσιν τῷ λαῷ. διά γε τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ ἐκαλεῖτο δίκαιος καὶ ὠβλίας, ὅ ἐστι περιοχὴ τοῦ λαοῦ δικαιοσύνη, ὡς οἱ προφῆται δηλοῦσι περὶ αὐτοῦ. τινὲς οὖν τῶν ἑπτὰ αἱρέσεων τῶν ἐν τῷ λόγῳ προγεγραμμένων μοι ἐν τοῖς ὑπομνήμασιν ἐπυνθάνοντο αὐτῷ, τίς ἡ θύρα τοῦ Ἰησοῦ; καὶ ἔλεγε τοῦτον εἶναι τὸν σωτῆρα, ἐξ ὧν τινες ἐπίστευον ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός· αἱ δὲ αἱρέσεις αἱ προειρημέναι οὐκ ἐπίστευον οὔτε ἀνάστασιν οὔτε ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κα-

2. ἁγίου om. G. ἁγίου ἀποστόλου addit P. 3. μετὰ τοὺς ἀποστόλους m. 7. ξυρὸν] ξηρὸν P. 8. ἠλείψατο BP. ἀλείψας G. 10. σινδόνας m. σινδόναις G. 11. ηὕρισκετο B. 14. αἰτεῖσθαι] αἰτῆσαι G. 15. Ὀλβίας G. 17. προγεγραμμένων B. γεγραμμένων G. 19. ὧν] οὗ G.

### Ex Hegesippi apostolorum discipuli commentario quinto de Iacobo fratre domini.

Frater domini Iacobus, cognomento Iustus, (alii quippe plures eo nomine dicebantur), a Christi abscessu ad nostra usque tempora una cum reliquis apostolis ecclesiam suscepit moderandam. Ex matris utero sanctitatem a deo sortitus prodiit. A vino et sicera penitus abstinuit, nec quicquam anima vegetatum assumpsit in cibum; in eius caput novacula non adscendit, olei vel balnei usum nusquam admisit. Illi soli sacrorum penetralium ingressus permissus. Laneis a se amotis lino tantum confectis vestibus usus est. Templum de more ingressus in genua procumbens pro populo veniam exorabat. Ex frequenti in genua procubitu deum pro plebe veniam rogaturo et adoranti ad camelorum instar genua callos immanes obduxerant; et ex eminentis iustitiae merito Iustus et Oblias, quasi sepimentum et populi iustitiam diceres, iuxta prophetarum de illo vaticinia, dicebatur. Ex septem itaque Iudaeorum sectis (illae vero propriis de unaquaque commentariis a me descriptae sunt) interrogabant nonnulli. Quae porta, hoc est exitus, Iesu est? Ad quae illo salvatorem eum asserente, ut Iesum Christum esse crederent quidam adducti sunt. Resurrectionem vero, vel etiam operibus singulorum hominum retributorem affuturum ex memoratis sectis alii nulla



τὰ τὰ ἔργα αὐτοῦ, ὅσοι δὲ καὶ ἐπίστευσαν διὰ Ἰάκωβον. πολ- P. 338
λῶν οὖν καὶ ἐκ τῶν ἀρχόντων πιστευόντων, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ Φαρισαίων καὶ γραμματέων λεγόντων ὅτι κινδυνεύει V. 269
πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν. ἔλεγον οὖν συνελθόντες τῷ Ἰακώβῳ, παρακαλοῦμέν σε, ἐπίσχες τὸν λαόν, ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ. παρακαλοῦμέν σε πεῖσαι τοὺς ἐλθόντας πάντας εἰς τὴν ἡμέραν τοῦ πάσχα περὶ Ἰησοῦ. σοὶ γὰρ πάντες πειθόμεθα· ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαὸς ὅτι δίκαιος εἶ καὶ πρόσωπον οὐ λαμβάνεις. πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι. καὶ γὰρ πᾶς B
ὁ λαὸς καὶ πάντες ἡμεῖς πειθόμεθά σοι· στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ἧς καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. διὰ γὰρ τὸ πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν. ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ ἔκραξαν αὐτῷ καὶ εἶπον, δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ. καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ, τί με ἐρωτᾶτε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου; καὶ αὐτὸς C
κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. καὶ πολλῶν πληρο-

1. καὶ om. G. Ιακώβου G. 2. ἐκ τῶν add. B. 6. ὄντος αὐτοῦ G. 9. καὶ ὅτι πρόσωπον G. ὅτι om. B. 12. ᾖ BP. ἢ A. ὡς G. εὐάκουστά B. εὖ ἀκουστά A. εὖ ἄκουστα G. ἐπάκουστα P. 17. Ἰησοῦ add. B. 19. υἱοῦ] Ιησοῦ G.

fide persuasum habebant. Quotquot deinde horum creduli eius hortatibus admiserunt fidem. Insigni itaque procerum Iudaeorum numero fidei consiliis animos subiiciente, reliquorum Pharisaeorum et scribarum tumultus auditus est: Iesum, inquiebant illi, velut Christum admittere populus omnis periclitatur. Iacobum igitur convenientes dicebant. Cohibe, rogamus te, populum, ea quippe quae est in Christum fide, tanquam Christus ipse sit, populus seductus est. Rogamus te, ut in omnium ad paschatis diem festivum venturorum auditu, quae de Iesu suadenda sunt, exponas. Doctorem te cuncti sequimur. Iustum te esse nos et una populus omnis testamur; humanis rationibus te nusquam duci certiores sumus. Hortare itaque populum, ne ex fide in Iesum errans abducatur; ut enim nos, ita populus universus sensum tuum sequitur. Sta itaque in templi fastigio, ut superne conspiciaris et verba tua nulli sint occulta; iam enim ad diem festum tribus cunctae una cum gentilibus convenerunt. Eum igitur in finem Iacobo ad excelsius templi fastigium statuto subclamaverunt scribae et Pharisaei memorati et dixerunt; o Iuste, qui nostrum omnium fidem promereris, cum populum nimia in Christum credulitate videamus delusum, ecquis Iesu sit exitus edoce nos. Ille sonora voce respondens: quid me de Iesu, inquit, homine interrogatis? In caelis a dextris magnae virtutis sedet et in caeli nubibus iterum venturus est. His auditis plures animati et Iacobi eos

φορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου καὶ λεγόντων, ὡσαννὰ τῷ υἱῷ Δαβίδ, τὸ ἔμπαλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον, κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ. ἀλλ' ἀναβάντες καταβάλωμεν αὐτόν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ. καὶ ἔκραξαν λέγοντες, ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη· καὶ ἐπλήρωσαν τὴν γραφὴν τὴν ἐν τῷ Ἡσαΐᾳ γεγραμμένην, ἄρωμεν τὸν δίκαιον ὅτι
D δύσχρηστος ἡμῖν ἐστι. τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτοῦ φάγονται. ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον, καὶ ἤρξαντο λιθάζειν αὐτόν. ἐν ᾗ καταβληθεὶς οὐκ ἀπέθανεν, ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα λέγων, παρακαλῶ κύριε θεὲ πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν. οὕτως δὲ καταλιθοβολούντων αὐτὸν εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ, υἱοῦ Ῥαχαεὶμ, τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου ἔκραξε λέγων, παύσασθε, τί ποιεῖτε; εὔχεται ὑπὲρ ἡμῶν ὁ δίκαιος. καὶ λαβών τις ἀπ' αὐτῶν εἷς τῶν γναφέων τὸ ξύλον, ἐν ᾧ ἀποπιέζει τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς
P. 339 κεφαλῆς τοῦ δικαίου. καὶ οὕτως ἐμαρτύρησε· καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ, καὶ ἐπ' αὐτοῦ στήλη μένει παρὰ τῷ ναῷ. μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησι γεγένη-

4. καταβάλωμεν B. καταβάλλωμεν G. 6. καὶ ὁ] καὶ om. G.

7. τῷ om. G. 8. δύσχρηστος BP. δύσχριστος G. γενήματα A. (ν superscr.) γενήματα B. αὐτοῦ] αὐτῶν A. 9. φάγονται B. φάγωνται A. φάγωμεν G. οὖν] δὲ G. κατέβαλλον G. 12. οὐ γὰρ οὐκ οἴδασι G. οὔτω G. 13. τῶν υἱῶν] καὶ τῶν υἱῶν G. ῥηχὰβ B. ῥιχὰβ A. Ῥεχὰβ G. ῥαχαεὶμ BP. Ῥαχαὴμ G. 14. παύσασθαι B. 17. μεμαρτύρηκεν G. 18. παρὰ — μένει παρὰ add. B. 19. τῷ ναῷ B. τοῦ ναοῦ G.

impellente testimonio canebant dicentes: Osanna filio David. Tum scribae et Pharisaei habito ad invicem colloquio: hoc nobis, inquiunt, male consultum, ut eiusmodi fidei testimonium edi disponeremus. Sursum ergo adscendentes praecipitem agamus, ut adstantium metu, fides eiusmodi penitus dissipetur. Igitur vociferati, vah, vah, inquiunt, Iustus erravit. Et impleverunt apud Esaiam scriptum sermonem: tollamus, aiunt, Iustum, quia improbus et adversus nobis est. Operum eius germina devoremus. Illi templo conscenso, Iustum ex eo praecipitem egerunt, cadentemque lapidibus mactaverunt. In terram praeceps lapsus animam confestim non reddidit; quare in adversam partem conversus positis in terram genibus dixit. Rogo te, deus pater, igosce illis, quod enim perpetrant facinus, ignorant. Illis autem lapides certatim mittentibus, sacerdotum filiorum Rechab Rachaim filii, quorum laudi Hieremias attestatur, nonnullus vociferatus est: quiescite, quid agere molimini? Orat pro nobis Iustus. Alter vero e turba exsiliens, fullonum calcandis vestibus fustem in Iusti caput impegit; atque ita martyrium subiit et in seposito templi loco sepultus est. Hic Iudaeis velut ac Graecis omni maior exceptione testis est, Iesum esse Christum.



ται, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστι. καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ αὐτούς. ταῦτα μὲν Ἡγήσιππος τῶν τοῦ καθ' ἡμᾶς ὀρθοῦ λόγου ἀξιόπιστος συγγραφεὺς ὀρθῶς ἱστορεῖ, ᾧ καὶ Ἰώσηππος οὐκ ἀπᾴδοντα συμφωνεῖ γράφων ταύτην γενέσθαι τὴν αἰτίαν τῆς κατὰ Οὐεσπασιανὸν ἁλώσεως Ἰουδαίων.

## Ἰωσήππου περὶ τῶν αὐτῶν.

Ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ B
δικαίου, ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, ἐπειδήπερ δικαιότατον αὐτὸν ὄντα Ἰουδαῖοι ἀπέκτειναν. ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην εἴπομεν παρειληφέναι, θρασὺς V. 270
ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως. αἵρεσιν δὲ μετήει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν· ἅτε δὴ τοιοῦτος ὢν ὁ Ἄνανος νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ Χριστοῦ λεγόμενον, Ἰάκωβος ὄνομα αὐτῷ, καὶ τινὰς ἑτέρους, ὡς κατὰ παρανομησάντων κατηγορίαν ποιησάμενος, παραδέδωκε καταλευσθησόμενον. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν C
κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρυφῇ πα-

5. τῶν Ιουδαίων G. 6. Ἰωσήππου] Antiq. XX, 9. 7. δὲ add. B. 8. ἐπειδήπερ B. ἐπειδὴ γὰρ G. 12. τὴν A. τῶν G. 14. ὢν om. G. 15. φίστον B. 17. ἑτέρους BP. ἑταίρους G. 19. καταλευσθησομένους m. 21. τούτῳ] τούτων G.

Haud multo vero post tempore obsidionem in eos Vespasianus apparat. Haec nobis Hegesippus sinceriorum historiarum nostrarum fide dignus scriptor fuco procul testatum reliquit, cui non absona concinit Iosephus scribens, hanc Iudaeorum captivitatis a Vespasiano illatae occasionem extitisse.

## Iosephus de iisdem.

In Iacobi Iusti, qui fuit frater Iesu, Christi etiamnum nuncupati, vindictam Iudaeis haec accidere; quod eum videlicet eximia prae reliquis iustitia praestantem Iudaei inhumane interfecerint. Iunior autem Ananus, quem pontificatum invasisse narravimus, ferox moribus et audacia summa ferebatur. Saducaeorum sectam, ut diximus, prae Iudaeorum sectis omnibus iudiciorum et in crimina rigoris observantem, profitebatur. Talis igitur cum esset Ananus commodum tempus occurrisse ratus, quod luci quidem Festus ereptus, Albinus adhuc itinere detineretur, concilium iudicum convocat, delatoque fratre Iesu Christi quondam dicti (Iacobus ei nomen erat) et quibusdam aliis, in eos, ceu legum violatores accusatione composita lapidibus obruendos obiecit. Qui vero in civitate humaniori iudiciorum normae assueti, et legum videbantur studiosiores graviter haec ferebant; nun-

ρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράττειν· μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι· τινὲς δὲ καὶ τῷ Ἀλβίνῳ ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντι, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς αὐτοῦ γνώμης καθίσαι συνέδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ λήψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς Ἀγρίππας διὰ τοῦτο τῆς ἀρχιερωσύνης ἀφελό-
D μενος αὐτὸν ἄρξαντα μῆνας τρεῖς Ἰησοῦν τὸν Ἰδαμμαίου κατέστησε.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφξγ'.

### Τῆς θείας σαρκώσεως ἔτη ξγ'.

### Τὰ ὑπόλοιπα τοῦ Νέρωνος.

Νέρων πρῶτος κατὰ Χριστιανῶν κινήσας διωγμὸν πρὸς τῷ τέλει τῆς αἰσχίστης ζωῆς καὶ βασιλείας αὐτοῦ, καθ' ὃν Πέτρος καὶ Παῦλος ἐμαρτύρησαν οἱ θεῖοι ἀπόστολοι, πολλοὺς καὶ ἄλλους Χριστιανῶν ἀνεῖλε, πλείονας ἐκδιώξας.

P. 340 Νέρων τοὺς θείους ἀποστόλους Πέτρον καὶ Παῦλον ἀνελών, πολλούς τε Χριστιανῶν διαφθείρας καὶ πλείονας διώξας, ἐπὶ τούτοις κιθαρῳδίαις καὶ τραγῳδίαις κατά τε Ῥώμην καὶ τὴν Ἑλ-

2. αὐτὸν om. G. 3. καὶ τῷ] ἐκ τῶν vulgo. ἐκ τῶν κατὰ τὸν B. Ἀλβίνῳ] Vulgo Σαλβίνων. ἀλβίνον B. 4. αὐτοῦ] αὐτῶν G. 7. ἀελόμενος (sic) B. 8. ἰδαμμαίου B. Ἰδουμαῖον G. Corrige Δαμναίου ex Iosepho p. 976. 12. τοῦ add. B.

ciisque clam ad regem missis, mandaret Anano, ne quid deinceps simile moliretur, suggesserunt; nam nec priora haec recte gessisse manifestum erat. Nonnulli quoque Albinum Alexandriam venientem obviam facti commonent, et absque eorum consensu concilium Anano convocare nefas clamitant. His motus Albinus stilo duriore et bilem redolente scribit Anano, et poenas de illo se sumpturum minatur et Agrippa rex eam ob causam pontificatu, cui menses tres praefuerat, eo abdicato, Iesum genere Idumaeum ei subrogavit.

## ANNI MUNDI 5563.

### Divinae Incarnationis an. 63.

### Reliqua Neronis gesta.

Nero circa foedissimae suae vitae imperiique finem persecutionem in Christianos primus movet, qua Petrus et Paulus divini apostoli martyrium subierunt; Christianorum quoque alios multos sustulit, plures in exsilium egit.

Nero divinis apost. Petro et Paulo interfectis, pluribus etiam Christianorum ultimo supplicio affectis, plurimis exsilio relegatis, cithara cantibusque cum Romae tum per Graeciam ovans, vario quoque curruum



λάδα πομπεύων, Ἰσθμίοις καὶ Πυθίοις καὶ Ἠλείοις καὶ Ἀκτίοις ἐστεφανοῦτο κήρυξιν ἅρματι πωλικῷ καὶ τῷ τελείῳ καὶ δεκαπώλῳ, μεταθέμενος καὶ τὴν ὀλυμπιάδα κατὰ σκηνῆς αἰσχρῶς ἑαυτὸν ὑπεδείκνυ.

Τότε καὶ τὸν Ἰσθμὸν ἠβουλήθη διορύξαι πρὸς τὸ γενέσθαι νῆσον τὴν Πελοπόννησον.

Οὗτος εἰς Ῥώμην ἐπανελθὼν ἐκ τῆς Ἑλλάδος ἐκεῖθεν πάλιν εἰς Ἄργος φεύγει πειρασθεὶς ἐπαναστάσεως καὶ ὑπό τινος τῶν οἰ- B
κετῶν βιαίως ἀναιρεῖται, ὡς δὲ ἕτεροι, ἑαυτὸν διαχειρισάμενος τέθνηκεν.

Οὐεσπασιανὸς ὑπατικὸς ἀνὴρ δυνατὸς ὑπὸ Νέρωνος κατὰ Ἰουδαίων ἀποστάντων πεμφθεὶς καὶ δυσὶ πολέμοις τούτους τρεψάμενος ἀπέκλεισεν. Ἰώσηππος δὲ στρατηγῶν Ἰουδαίων μόλις περισωθεὶς θεσπίζει τῷ Οὐεσπασιανῷ τὰ τῆς Νέρωνος τελευτῆς καὶ τῆς αὐτοῦ βασιλείας.

Νέρων υἱοθετήθη μὲν τῷ πρὸ αὐτοῦ Ῥωμαίων βασιλεύσαντι Κλαυδίῳ, πρόγονος ὢν αὐτοῦ. ἐβασίλευσε δὲ Ῥωμαίων μετὰ Κλαυδίον ἔτη ιγ', κατὰ δὲ ἄλλους ιδ'. τούτου δὲ τῆς βασιλείας ἀτυχεστέραν ἢ αἰσχροτέραν ἐν οὐδενὶ χρόνῳ φαίνονται βασι- C
λευθέντες Ῥωμαῖοι. πάσης γὰρ τυραννίδος καὶ ὠμότητος ἔργα παρ' αὐτοῦ πέπρακται, ἀκρασίαι, μιαιφονίαι, τῆς τε μητρὸς Ἀγριππίνης καὶ Ὀκταβίας καὶ τῆς οἰκείας γαμετῆς, ἀδελ-

1. Ἠλείοις m. Ἰλλίοις vulgo. ἰλλύοις B. 2. ἐστεφανοῦντο A. 6. νῆσον] ἴσον A. ἴσον B. 7. ἐκ τῆς] ἐξ G. 9. διαχειρησάμενος B. 15. τῆς αὐτοῦ] τὰ τῆς G. 18. Κλαυδίον] Κλαύδιον G. 22. Ὀκταβίας] ὁ κατὰ βίας om. G.

genere, pullis nimirum, solemni quadriga, et decemiuge vectus, Isthmiis, Pythiis, Elaeis et Actiis ludis a praeconibus coronatus procedebat; mutatisque Olympiadibus, ridicule se ipsum in scena promebat.

Eodem quoque tempore Isthmum Peloponneso in insulam formandae, perfodere molitus est.

Idem ex Graecia Romam reversus, rursum tumultum praesentiens Argos tendit et a domesticorum quopiam neci traditur; ut vero auctores alii scribunt, violentam ipse sibi necem conscivit.

Vespasianus vir consularis et magnanimus adversus Iudaeos perduelles a Nerone missus, duobus praeliis fusos in urbem collegit et obsedit. Iosephus Iudaeorum dux vix belli periculo salvus, Neronis necem et imperii successum Vespasiano praedicit.

Nero quidem a praecessore Romanorum Imperatore Claudio, utpote privignus, in filium adoptatus, Claudio defuncto annis 13, ex aliorum sensu 14, imperavit; quo infelicius et foedius nunquam Romani subierunt imperium; omnis quippe tyrannidis et crudelitatis facinora edidit; intemperantiae excessus, caedes, Agrippinae matri et propriae coniugi mors illata,

V. 271 φοῦ τε γνησίου καὶ θείου πρὸς πατρὸς καὶ ἄλλων πολλῶν συγγενῶν, καὶ τῶν ἐν γερουσίᾳ. ἐπὶ πᾶσι δ' αὐτοῦ τοῖς ἀτυχήμασι καὶ τὸν πρῶτον κατὰ Χριστιανῶν ἐνεδείξατο διωγμὸν, ἡνίκα Πέτρος καὶ Παῦλος οἱ θειότατοι ἀπόστολοι τῷ ὑπὲρ Χριστοῦ μαρτυρήσαντες κατεστέφθησαν ἀγῶνι, ὁ μὲν κατὰ κεφαλῆς ἀνασκολοπισθεὶς, ὡς αὐτὸς ἠρετίσατο, ὁ δὲ τὴν ἁγίαν ἐκτμηθεὶς κεφαλὴν, Παῦλος· περὶ ὧν ὁ Ῥωμαϊκὸς συγγραφεὺς Τερτυλλιανὸς τάδε
D γράφει· ἐνετύχετε τοῖς ὑπομνήμασιν ὑμῶν; ἐκεῖ εὑρήσετε πρῶτον Νέρωνα τοῦτο δογματίσαντα, ἡνίκα μάλιστα ἐν Ῥώμῃ τὴν ἀνατολὴν πᾶσαν ὑποτάξας ὠμὸς ἦν εἰς πάντας διώκτης. τοιούτῳ τῆς κολάσεως ἡμῶν ἀρχηγῷ καυχώμεθα. ὁ γὰρ εἰδὼς ἐκεῖνον νοῆσαι δύναται οὐκ ἂν, εἰ μὴ μέγιστον ἀγαθῶν ἦν ὑπὸ Νέρωνος κατακριθῆναι. ταύτῃ γοῦν οὗτος θεομάχος ἐν τοῖς μάλιστα πρῶτος ἀνακηρυχθεὶς ἐπὶ τὰς κατὰ τῶν ἀποστόλων ἐπήρθη σφαγάς. Παῦλος δὴ οὖν ἐπὶ τῆς Ῥώμης τὴν κεφαλὴν ἀπετμήθη καὶ Πέτρος ὡσαύτως ἀνασκολοπισθῆναι κατ' αὐτὸν λέγεται. καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Παύλου καὶ Πέτρου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόρρησις. τούτοις καὶ Γάϊος
P. 341 ἱστορικὸς, ἀνὴρ ἐκκλησιαστικὸς, ὅμοια γράφει Πρόκλῳ τινὶ τῆς Φρυγῶν αἱρέσεως διαλεγόμενος ἐν τοῖς χρόνοις Ζεφυρίνου, πεντεκαιδέκατος τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος κατὰ Σεβῆρον Ῥωμαίων αὐτοκράτορα. ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω.

6. ἠρετίσατο A. ἠρετήσατο G. 7. Vulgo Τερτυλιανός. 8. Vulgo ἐντύχετε. εὑρήσητε A. εὑρήσεται B. 12. μέγιστον m. μεγίστη G. 17. ἡ Πέτρου καὶ Παύλου G. 18. γάϊος BP. Γαΐας G. 20. Ζεφυρίνου] ὃς ἐγένετο addit m. 21. σεύηρον A. σέηρον B. Σέβηρον G.

vita germano fratri nec non patruo consanguineis pluribus ac senatoria dignitate conspicuis viris adempta; sceleribus cunctis, velut coronidem, primam in Christianos persecutionem adiecit, qua Petrus et Paulus fidei victoria redimiti sunt; hic ex animi desiderio capite inverso cruci suffixus, ille vero, nempe Paulus sacro capite amputato necatus, de quibus Tertullianus scriptor Latinus haec habet. Commentaria nostra legistis? In eis hoc primum Neronem sancientem reperietis; cum maxime oriente Romanis legibus subacto, ferox persecutor in omnes insanivit. Tali poenarum nostrarum auctore gloriamur. Qui enim hominem noverit, ingentis successus condemnationem eius esse potest cogitare. Hoc pacto itaque ille deo infensus hostis inter insignes primus renunciatus ad apostolorum perpetrandam caedem impulsus est. Paulus igitur Romae capite abscisso, et Petrus pariter crucis supplicio eius tempore fertur damnatus; et in hunc usque diem in sepulcris eorum encomium perseverans, historiam veram esse confirmat. His non absimilia Caius historicus vir ecclesiae obsequio mancipatus cum Proclo quopiam e Phrygum secta disceptatione edita scribit Zephyrini Romanorum ecclesiae pontificis 15 et Severi Imp. tempore. Ego



ἐὰν γὰρ θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βασίκανον ἐπὶ τὴν ὁδὸν τὴν Ὀστείαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκκλησίαν. τούτοις ἀκόλουθα καὶ Διονύσιος ὁ Κορίνθου ἐπίσκοπος γράφει, ὡς δηλονότι κατὰ τὸν αὐτὸν καιρὸν ἐμαρτύρησαν. ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Παύλου καὶ Πέτρου φυτείαν γενηθεῖσαν Ῥωμαίων τε καὶ Κορινθίων συνεκεράσατε. καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φοιτή- B
σαντες ἡμᾶς ὁμοίως ἐδίδαξαν. ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ἐκδιδάξαντες ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν.

Τῆς Ῥωμαίων ἐκκλησίας πρῶτος ἐπίσκοπος μετὰ Πέτρον τὸν Κορυφαῖον Λίνος ἔτη ιη'.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφξδ'.

### Τῆς θείας σαρκώσεως ἔτη ξδ'.

Νέρωνος τὸν βίον αἰσχρῶς καταλύσαντος Οὐεσπασιανὸς ὑπὸ τῶν στρατευμάτων κατὰ τὴν Ἰουδαίαν βασιλεὺς Ῥωμαίων ἀνη- C
γορεύθη. Γαλβᾶς δὲ στρατηγῶν Ἰβηρίας εἰς Ῥώμην παρελθὼν κρατεῖ μῆνας ἑπτά. τοῦτον Ὄθων ἀνελὼν εἷς τῶν ἐν τέλει κρατεῖ μῆνας τρεῖς ἐπὶ τῆς Ῥώμης, ὃν Βιτέλλιος κτείνας κρατεῖ μῆνας η'. οὗτος Σαβῖνον τὸν ἀδελφὸν Οὐεσπασιανοῦ διατρίβον-

1. Βατικανὸν καὶ ἐπὶ m. 2. εὑρήσῃς B. 3. καὶ] ὁ G. 4. ὡς] ὃς m. ἐμαρτύρησαν B. ἐμαρτύρησεν AG. 5. ὑμεῖς m. ἡμεῖς G. νουθεσίας Barber. Vulgo νομοθεσίας G. 6. γενηθεῖσαν B. γεννηθεῖσαν G. 7. ἄμφω m. ἀμφοῖν G. εἰς] κατὰ G. 14. αἰσχρῶς τὸν βίον G. 17. ὤθων B. ὤθον A. Ὠθὼν G. εἷς τῶν] εἰς τὸν A. 18. ὃν] ὧν G. κτείνας om. G. 19. τὸν ἀδελφὸν] ἀδελφὸν τοῦ G.

vero, inquit, apostolorum tropaea penes me habeo. Ad Vaticanum quippe et viam Ostiensem profecto eius ecclesiae fundatorum tropaea occurrunt. Istis consona Dionysius Corinthi episcopus parem martyrii palmam sortitus scriptis reliquit firmata. Et vos quoque talibus institutis et monitis instructi Romanorum Corinthiorumque germen Petri Paulique studio pullulans coniunxistis. Etenim uterque frequens Corinthi nostrae visitator salutis nobis documenta reliquit; paribusque praeceptis illustrata Italia, non dissito ab invicem tempore fidei testimonium fuso sanguine firmavere.

Romanorum ecclesiae post Petrum apostolorum coryphaeum primus episcopus Linus annis 18.

## ANNI MUNDI 5564.

### Divinae Incarnationis an. 64.

Nerone foeda morte sublato, Vespasianus in Iudaea a militibus Imperator proclamatur. Galba vero Romani exercitus per Hispaniam dux Romam advolans menses septem tenet imperium. Hunc Otho inter Romanos proceres conspicuus interficit et regnat menses tres. Vitellius Romae degens rerum summa potitur menses octo. Iste Sabinum Romae quoque morantem

τα κατὰ τὴν Ῥώμην καὶ φόβῳ τῆς ἀναρρήσεως τοῦ ἀδελφοῦ ἐν τῷ Καπετωλίῳ προσφυγόντα κατὰ τὸν ναὸν τοῦ Διὸς ἀνεῖλε, πολιορκήσας τὸν ἄνδρα καὶ τὸν ναὸν ἐμπρήσας. ὁ δ' αὐτὸς ὑπὸ Δομετιανοῦ παραχρῆμα ἀνῃρέθη τοῦ νεωτέρου παιδὸς Οὐεσπα- D σιανοῦ πεμφθέντος εἰς τοῦτο παρὰ τοῦ πατρός. τὸν γὰρ πρεσβύτερον υἱὸν Τίτον τὸν πρὸς Ἰουδαίους πόλεμον ἐκτελέσαντα καταλιπὼν αὐτὸς ἐπὶ τὴν Ἑλλάδα παραγίνεται, ὡς Ἕλληνες μυθεύουσιν, ἐφ' οἷς ἠκηκόει παρὰ τοῦ Τυανέως Ἀπολλωνίου περὶ τοῦ Χριστοῦ τῆς βασιλείας καὶ τῶν λοιπῶν εὐδοκιμήσεων, κατὰ τὴν Αἴγυπτον συντυχὼν αὐτῷ ἐξ Ἰνδῶν καὶ Βραχμάνων ἐπανελθόντι τῶν ἐκεῖσε Γυμνοσοφιστῶν. ἐλθὼν οὖν εἰς Ἑλλάδα χειροῦται τὰς ἀποστάσας πόλεις. κἀκεῖθεν εἰς Ῥώμην παραγίνεται, βα- V. 272 σιλεύσας κοσμίως καὶ ἀντιθέτως τῷ Νέρωνι. βίους γὰρ καὶ τὰ τῆς πόλεως ἀνακαλεῖται δίκαια, τούς τε ἐπαναστάντας βαρβάρους Βροξύλους καὶ Βρεττανοὺς καὶ Δάκας καὶ Σαρμάτας διὰ τῶν παίδων παραστησάμενος Δομετιανοῦ καὶ Κυρεναλίου.

P. 342 Εὐσεβίου.

Τίτος Ἰουδαίους πολιορκήσας καὶ τὰ Ἱεροσόλυμα κατασκάψας καὶ μυριάδας ἀνδρῶν ἐφόνευσε. φησὶ δὲ καὶ Ἰώσηππος λιμῷ καὶ μαχαίρᾳ ρι' μυριάδας ἀπολέσθαι, καὶ ἄλλας τρεῖς μυριάδας

2. προσφυγόντα] φεύγοντα G. 3. ὑπὸ BP. ἐπὶ G. 4. παιδὸς] παιδος τοῦ G. 7. καταλειπὼν B. ὡς Ἕλληνες μυθεύ— (supplevi μυθεύουσιν) addidi ex B, qui in his ipsis verbis desinit. Dehinc ubi Goari lectionem simpliciter pono, recepta lectio codici A debetur. 9. τοῦ Χριστοῦ τῆς] τῆς Χριστοῦ G. 11. εἰς τὴν Ἑλλάδα G. 16. Κυρεναλίου] Κερεαλίου m. 17. Εὐσεβίου] P. 376. et Histor. eccles. III, 5. 19. Ἰώσηππος] Bell. Iud. VI, 4. 20. ρι' μυριάδας] μυριάδας ρι' G. ἀπολέσθαι] ἀπώλεσεν A.

et fratris Vespasiani Imperatoris renunciati causa Capitolium fuga occupare tentantem, ad Iovis templum obsidione posita et fano igne devastato confecit; idemque confestim a Domitiano Vespasiani filio iuniore a patre illuc misso peremptus est. Vespasianus enim Tito filio maiore bellis adversus Iudaeos perficiendis relicto in Graeciam diverterat, quo tempore Apollonio Tyanaeo ex Indiis et Brachmanarum et Gymnosophistarum convictu Aegyptum reverso factus obviam, de Christi regno aliisque laudandis rebus virum disserentem audierat. In Graeciam appulsus rebelles civitates parere coegit; exinde Romam usque transfretatus moderatum et Neroniano oppositum gessit imperium; census enim et cuncta civitatis restituit iura; motosque barbaros, Broxylos, Britannos, Dacos et Sarmatas missis in eos Domitiano et Cereali filiis repressit.

Ex Eusebio.

Titus Iudaeos obsedit, Hierosolyma subvertit, myriadesque hominum plurimas delevit. Fame vero ferroque hominum myriades 110 confectas,



διαπεπρᾶσθαι αἰχμαλώτων. αἴτιον δὲ τοῦ τοσοῦτο πλῆθος κατὰ τὴν πόλιν εὑρῆσθαί φησι τὴν τοῦ πάσχα ἑορτὴν, ἐν ᾗ πάντες οἱ τοῦ ἔθνους συνεληλυθότες ὡς ἐν εἱρκτῇ συνεκλείσθησαν. ἔδει γὰρ τοὺς ἐν ἡμέραις τοῦ πάσχα ἐπιβεβουλευκότας τῷ σωτῆρι ἡμῶν παθεῖν.

Οὐεσπασιανὸς τὸ Καπετώλιον ἐμπρησθὲν ἀνῳκοδόμησεν. B

Ἐν Ἀλεξανδρείᾳ στάσις.

Ὁ κολοσσὸς Ῥόδου ἀνεστάθη μῆκος ποδῶν ρκζ' ἐκ χαλκοῦ.

Λοιμὸς κατὰ τὴν Ῥώμην μέγας, ὡς καθ' ἡμέραν ὑπὲρ μυρίους θνήσκειν ἐπὶ πολλὰς ἡμέρας.

Ἐν Κύπρῳ τρεῖς πόλεις σεισμῷ κατεπτώθησαν.

Οὐεσπασιανὸς ἀποικίας ἐκπέμψας τελευτᾷ νόσῳ.

Ἀντιοχείας ἐπίσκοπος Ἰγνάτιος ὁ θεοφόρος ἔτη λ'. C

## ΚΟΣΜΟΥ ΕΤΗ ,εφξς'.

### Τῆς θείας σαρκώσεως ἔτη ξς'.

### Τὰ ὑπόλοιπα Ἀγρίππα Ἰουδαίων βασιλέως.

Ἕως τοῦ μικροῦ τούτου Ἀγρίππα ἡ ὑπὸ ἀλλοφύλων βασιλεία τῶν Ἰουδαίων κατηργήθη διαρκέσασα ρ' ἔτη οὕτω. Ἡρώδης πρῶτος ὁ τὰ νήπια ἀνελὼν ἐν Βηθλεὲμ ἔτη λζ'. Ἀρχέλαος ὁ υἱὸς

1. τοῦ] τὸ G. τοσοῦτο πλῆθος] τοσούτου πλήθους A. 8. Ὁ et Ῥόδου om. G. 15. Vulgo ἔτος. 18. διαρκέσασα Scaliger p. 80. Vulgo διασκεδάσασα.

alias tres captivorum abductas Iosephus scribit. Multitudinis autem adeo numerosae in urbem collectae paschatis festum, ad quod celebrandum undequaque conveniebant, ex quo velut in caveam coniecti et conclusi sunt, causam fuisse affirmat. Eos enim qui sui paschatis festo salvatori nostro composuissent insidias, eodem in festo mutuas poenas referre decebat.

Vespasianus Capitolium incendio vastatum restituit.

Tumultus Alexandriae.

Colossus aereus pedum 127 erectus.

Pestis adeo vehemens per Romanam urbem grassata est, ut continuis diebus plurimis hominum 10,000 efferrentur.

In Cypro tres urbes terrae motu subversae.

Vespasianus Romanis coloniis propagatis morbo correptus vita defungitur.

Antiochiae episcopus 2 Ignatius Deifer annis 30.

## ANNI MUNDI 5566.

### DIVINAE INCARNATIONIS AN. 66.

### Agrippae Iudaeorum regis reliqua gesta.

Iudaeorum regnum annis centum perseverans, a regibus alieno sanguine ortis ad minorem Agrippam hoc modo prorogatum, exstinguitur. Herodes omnium primus, ille Bethleemicorum infantium parricida annis 37, Ar-

D αὐτοῦ ἔτη θ'. Ἡρώδης ἀδελφὸς αὐτοῦ ἔτη κδ'. Ἀγρίππας ὁ υἱὸς Ἡρώδου, ὁ σκωληκόβρωτος Ἡρώδης, ἔτη ζ'. Ἀγρίππας ὁ υἱὸς αὐτοῦ, ὁ μικρὸς λεγόμενος, ἔτη κγ'. ὁμοῦ ἔτη ρ'.

Συνάγεται ὁ πᾶς χρόνος κατὰ τόδε τὸ χρονογραφεῖον ἀπὸ Ἀδὰμ ἕως ἔτους δευτέρου Οὐεσπασιανοῦ ἔτη ͵εφξζ'. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ͵γτκε'. ἀπὸ δὲ τοῦ πρώτου ἔτους Ἀβραὰμ ͵βφνε'. ἀπὸ δὲ τῆς ἐξόδου τοῦ ναοῦ διὰ Σολομῶνος ἔτη * *. ἀπὸ δὲ τῆς πρώτης ἐπισκευῆς ἤτοι δευτέρου ἔτους Δαρείου ἔτη * *. ἀπὸ δὲ τῆς
P. 343 δευτέρας ἐπισκευῆς ἔτη * *. ἀπὸ δὲ τῆς Ἀντιόχου πολιορκίας ἔτη * *. ἀπὸ δὲ τοῦ σωτηρίου σταυροῦ ἔτη λδ'.

V. 273

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εφοε'.

### Τῆς θείας σαρκώσεως ἔτη οε'.

*Βασιλεὺς Ῥωμαίων η' Τίτος υἱὸς Οὐεσπασιανοῦ ἔτη β'.*

Τῆς συγκλήτου πρεσβευσαμένης, ὥς τινες, Τίτος θεὸς ἀνηγορεύθη δευτέρῳ τῆς βασιλείας αὐτοῦ ἔτει, καὶ παραχρῆμα θνήσκει θεηλάτως· ὡς δὲ Ἕλληνες ἱστοροῦσι, φαρμάκῳ Δομετιανὸς αὐτὸν ἀνεῖλεν ὁ ἀδελφὸς ἔρωτι τῆς μοναρχίας. εὐδαίμονα δέ φασιν ἀποδεῖξαι τοῖς πράγμασι τὴν πόλιν, καὶ τὴν ὅλην

2. ὁ σκωλ— Scaliger. ἔτη . . . . ὁ σκωλ— A. ἔτη ὁ σκωλ— G. Ἡρώδης delevit Scaliger. Sed vide p. 333 a. 3. λεγόμενος add. AP. om. G. 4. Συνάγεται] Conf. chron. pasch. p. 247. et Eusebium p. 377. Vulgo χρονογραφίον. 6. ͵βφνε'] ͵βσνε' m. 7. ἔτη] ͵αϡδ' supplet m. 13. βασιλεῖς A. 17. τῆς αὐτοῦ μοναρχίας G. 18. φασιν] αὐτὸν add. m. ὅλην om. G.

chelaus eius filius annis 9, Herodes eius frater annis 24, Agrippa Herodis filius, Herodes vermium pabulum dictus, annis 7 postremo filius eius minor Agrippa vocatus annis 23. Quorum summa anni 100.

Tempus omne hucusque lapsum secundum praesentem chronographicum computum ita colligitur.

Ab Adamo ad annum Vespasiani secundum anni 5567.
A diluvio vero anni 3325.
Ab Abrahami natalibus anni 2255.
Ab inchoati templi Salomonis primordio anni 1094.
A prima templi reparatione, id est Darii anno secundo, anni . . . .
A templo secundum reparato anni . . .
Ab Antiochi altera obsidione . . . .
A salute per crucem parta anni 34.

## ANNI MUNDI 5575.

### Divinae Incarnationis an. 75.

Romanorum Imperator 8 Titus Vespasiani filius annis 2.

Divini honores Tito anno imperii eius secundo, ut quidam referunt, senatus consulto deferuntur; qui plaga caelitus immissa improviso interiit; at si fidem Graecis demus, eius frater Domitianus regnandi cupidus veneno submovit. Urbem rerum omnium fecundam universumque Romanum im-



Ῥωμαίων ἀρχὴν ἐν ὀλίγῳ χρόνῳ, εἴπερ τινὰ τῶν πρὸ αὐτοῦ. B ἐπ' αὐτοῦ ὁ μέγας κατὰ τὴν Ῥώμην ἐμπρησμός. ἐπ' αὐτοῦ καὶ τὸ Βέσβιον ὄρος κατὰ κορυφῆς ῥαγὲν πῦρ ἀνέβλυσε τοσοῦτον, ὡς καταφλέξαι τὴν παρακειμένην χώραν σὺν ταῖς πόλεσιν. ἀλλὰ τοῦτον Δομετιανὸς, ὡς εἴρηται, φθόνῳ τῆς εὐπραγίας καὶ τῷ τῆς αὐτοκρατορίας ἔρωτι φαρμάκῳ δολοφονήσας βασιλεύει μετ' αὐτὸν ἔτη ιβ', σὺν αὐτῷ δὲ ιδ', κατὰ δὲ ἄλλους ιε', κάκιστα χρησάμενος τῇ ἀρχῇ, ἅπαν ὠμότητος καὶ πλεονεξίας καὶ φονικῆς πράξεως καὶ αἰσχρουργίας εἶδος μετιὼν, ὡς καὶ αὐτὰ τὰ βασίλεια πληρωθῆναι τῆς ἀκολασίας. οὗτος Νερβᾶν μετέστησεν ὡς ἐπίβουλον τῆς ἀρχῆς καὶ δι' αὐτὸν Ἀπολλώνιον τὸν Τυανέα φιλόσοφον ἐφρούρησεν, ὡς φίλον αὐτοῦ, κείρας αὐτὸν καὶ δέσμιον C ἀγαγὼν εἰς δεσμωτήριον. ἀλλ' οὐδ' οὕτως ἔπεισε τὸν φιλόσοφον μὴ τοῖς πραττομένοις ἐπιπλήττειν καὶ ἐγγελᾶν. τότε μυθεύονται καὶ τὸ πολυθρύλητον ἔπος εἰρηκέναι πρὸς αὐτὸν καὶ παραχρῆμα γενέσθαι ἄφαντον, ὡς Φιλόστρατος μαρτυρεῖ,

*Οὐ μέν με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.*
*Δομετιανὸς εὐπατρίδας πολλοὺς μετέστησε Ῥώμης.*
*Τότε καὶ ἄξυλον ναὸν ᾠκοδόμησεν.*
*Εὐνουχίζειν ἄνδρας ἐκώλυσε.*
*Σεβαστὴν ἀνηγόρευσε τὴν ἰδίαν γαμετήν.*

2. αὐτοῦ] Vulgo αὐτόν. αὐτοῦ A. αὐτὸν G. 15. Vulgo πολυθρύλλητον. πρὸς] παρ' A. 16. μαρτυρεῖ] ἱστορεῖ G. 17. Versus Homericus Iliad. χ, 13. Vulgo κτειναίης ἐπεὶ οὔτι. 19. ἄξυλον] Vulgo ἄζυλον, consentiente A. *sine lignea materia* Eusebius p. 378. ναὸν om. G. 20. ἐκώλυσεν m. ἐκέλευσεν G. *vetuit* Eusebius p. 328. 21. καὶ om. A.

perium prae iis qui regnaverant prius, felix effecisse asserunt. Stupendum eius tempore incendium Romae visum; voragine quoque in Vesuvii montis vertice aperta adeo copiosus ignis erupit, ut vicinis urbibus devastatis regionem quaqua versus percurrerit. Domitianus fraternae felicitatis invidia et imperandi aestu motus veneno Titum dolose sustulit; et post eum regnat annis 12 una cum eo 14, iuxta alios 15, imperio turpiter abutitur; crudelitatis, avaritiae, caedium et turpitudinis nullum specimem non edidit; adeo ut regia ipsa intemperantiae sceleribus conspurcaretur. Hic Nervam, ceu imperio insidiantem, urbe depulit et Apollonium Tyaneum philosophum eius amicum capite tonsum vinctum sub custodia eius occasione tenuit; sed neque sic philosophum ab arguendi libertate et gestis omnibus subsannandis compescuit. Tunc celebre carmen illud ab eo prolatum, nec ipsum ulterius visum, auctore Philostrato fabulantur:

Me non interimes, non hoc tibi fata dederunt.
Domitianus patricios plures in exsilium egit.
Eodem tempore asylum aedificavit.
Viros eunuchos fieri prohibuit.
Propriam uxorem Augustam renunciavit.

D Τοὺς μαθηματικοὺς δεύτερον ἀπήλασε καὶ φιλοσόφους τῆς Ῥώμης.

Τῆς Ἑστίας τρεῖς παρθένοι ἱέρειαι κατεδικάσθησαν ἁλοῦσαι φθορᾷ. καὶ αὖθις Κορνηλία ἡ πρώτη τῶν τῆς Ἑστίας παρθένων ἱέρεια ζῶσα κατωρύγη φθορᾷ περιπεσοῦσα.

Ἐπὶ αὐτοῦ Δάκες καὶ Νασαμῶνες ἐπαναστάντες Ῥωμαίοις διεφθάρησαν.

Δομετιανὸς ἐθριάμβευσε κατὰ τῶν Δακῶν καὶ Γερμανῶν.

Ὁ αὐτὸς ἐν ταῖς πόλεσιν ἄμπελον φυτεύεσθαι ἐκώλυσε, πολλούς τε τῶν εὐπατριδῶν ἀνεῖλε.

P. 344 Δομετιανὸς τοὺς ἀπὸ γένους Δαβὶδ ἀναιρεῖσθαι προσέταξεν, ἵνα μή τις Ἰουδαίων βασιλικοῦ γένους ἀπολειφθῇ.

Οὗτος μετὰ Νέρωνα δεύτερος Χριστιανοὺς ἐδίωξε, καὶ Ἰωάννην τὸν θεολόγον ἄπολιν ἐν Πάτμῳ τῇ νήσῳ περιώρισεν, ἔνθα τὴν ἀποκάλυψιν ἑώρακεν, ὡς ὁ ἅγιος Εἰρηναῖός φησι. πολλοὶ δὲ Χριστιανῶν ἐμαρτύρησαν κατὰ Δομετιανὸν, ὡς ὁ Βρέττιος ἱστορεῖ, ἐν οἷς καὶ Φλαυία Δομετίλλα ἐξαδελφὴ Κλήμεντος Φλαυίου ὑπατικοῦ, ὡς Χριστιανὴ εἰς νῆσον Ποντίαν φυγαδεύεται· αὐτός τε Κλήμης ὑπὲρ Χριστοῦ ἀναιρεῖται. τούτου B δὲ Στέφανός τις τῶν ἀπελευθέρων εἷς, τῇ πρὸς τὸν δεσπότην εὐνοίᾳ Κλήμεντα ἐνεδρεύσας τὸν Δομετιανὸν ἀνεῖλε, τιμῆς τε παρὰ τῆς συγκλήτου ἠξιώθη ὡς αἴσχους Ῥωμαίους ἀπαλλάξας.

8. τῶν] Vulgo τὸ. δοκῶν A. 10. Vulgo εὐπατρίδων. 20. πρὸς τὸν δεσπότην m. τῇ περὶ τοῦ δεσπότου. 21. κλήμεντα Am. Κλήμηντι G.

Mathematicos philosophos urbe facessere secundo iussit.

Virgines tres Vestae sacerdotes, quod essent scortatae, condemnantur. Rursumque Cornelia sacerdos virginum Vestalium praecipua, stupro admisso, viva in terram defoditur.

Sub eo Daci et Nasamones bello tumultuantes profligantur.

De Dacis et Germanis Domitianus triumphat.

Idem in urbibus vitem plantari vetuit; patriciosque nonnullos e vita sustulit.

Domitianus, ne quis Iudaeorum regii generis superesset, cunctos stirpe David ortos interimi iussit.

Hic post Neronem persecutionem in Christianos movit secundam. Ioannem theologum urbe pulsum in Patmos insulam, ubi, Irenaeo teste, divinam accepit revelationem, ablegavit. Christiani plurimi, ut Brettius scribit, sub Domitiano martyrium passi sunt; inter quos Flavia Domitilla Flavii Clementis viri consularis consobrina, Christianae fidei nomine in Pontiam insulam, exsul deportatur; Clemens ipse pro Christo vitam amittit. Huius libertorum quispiam Stephanus nomine, ex suo in Clementem affectu paratis insidiis Domitianum interfecit; isque idem quod eiusmodi opprobrii foeditate Romanos liberasset, honores a senatu decretos accepit.



Τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐπίσκοπος γέγονε μετὰ Πέτρον τὸν Κορυφαῖον Ἀνέγκλητος ἔτη δύο. V. 274

ΚΟΣΜΟΥ ΕΤΗ ͵εφοϛʹ.

Τῆς θείας σαρκώσεως ἔτη οϛʹ.

Ῥωμαίων βασιλεὺς Δομετιανὸς ἔτη δώδεκα.

ΚΟΣΜΟΥ ΕΤΗ ͵εφοζʹ. C

Τῆς θείας σαρκώσεως οζʹ.

Τῆς Ῥωμαίων ἐκκλησίας ἡγήσατο δʹ Κλήμης ἔτη θʹ.

ΚΟΣΜΟΥ ΕΤΗ ͵εφοηʹ.

Τῆς θείας σαρκώσεως οηʹ.

Τούτου καὶ ὁ ἀπόστολος ἐν τῇ πρὸς Φιλιππησίους μέμνηται πρώτῃ ἐπιστολῇ εἰπὼν, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. τούτου ἐπιστολὴ D μία γνησία Κορινθίοις φέρεται, ὡς ἀπὸ τῆς Ῥωμαίων ἐκκλησίας γραφεῖσα, στάσεως ἐν Κορίνθῳ συμβάσης τότε, ὡς μαρτυρεῖ Ἡγήσιππος, ἥτις καὶ ἐκκλησιάζεται.

Ῥωμαίων εʹ ἐπίσκοπος Εὐάρεστος ἔτη θʹ.

Ἐν Ῥώμῃ θεοσημίαι πολλαὶ καὶ καθ' ὅλης τῆς οἰκουμένης γεγόνασιν.

Ἀλεξανδρείας γʹ ἐπίσκοπος Αἰμίλιος ἔτη ιβʹ.

5. βασιλεῖς A. 7. om. A. 10. σαρκώσεως om. A. 11. τούτου καὶ ὁ ἀπόστολος P. τέλος G. 14. μία] ἡ μία G. 18. Vulgo θεοσημεῖαι.

Romanae eccles. post Petrum Coryphaeum fuit episcopus Anacletus annis 2.

ANNI MUNDI 5576.

DIVINAE INCARNATIONIS AN. 76.

Romanorum Imperator 9 Domitianus annis 12.

ANNI MUNDI 5577.

DIVINAE INCARNATIONIS AN. 77.

Romanae ecclesiae pontifex 4 Clemens annis 9.

ANNI MUNDI 5578.

DIVINAE INCARNATIONIS AN. 78.

Clementis istius epistola ad Philippenses prima meminit apostolus dicens: „cum Clemente et reliquis coadiutoribus meis, quorum nomina in libro vitae scripta sunt;" Germanam eius ad Corinthios epistolam, quasi a Romana ecclesia, tumultus cuiusdam Corinthi exorti occasione scriptam ab ecclesia vulgo recipi, et coram publice legi, auctor est Hegesippus.

Romanorum episcopus 5 Evaristus annis 9.

Romae et per orbem universum plurima visa prodigia.

Alexandriae episcopus 3 Aemilius annis 12.

P. 345 ΚΟΣΜΟΥ ΕΤΗ ,εφπζ΄.

Τῆς θείας σαρκώσεως ἔτη πζ΄.

Ἡγησίππου περὶ τῶν ἐκ γένους Δαβὶδ καὶ τοῦ σωτῆρος ὑπὸ αἱρετικῶν διαβληθέντων Δομετιανῷ.

Ἔτι δὲ περιῆσαν οἱ ἀπὸ γένους τοῦ κυρίου υἱῶν Ἰούδα τοῦ κατὰ σάρκα λεγομένου αὐτοῦ ἀδελφοῦ, ὡς ἐδηλάτευσαν ἐκ γένους
B ὄντες Δαβίδ. τούτους ὁ Ἰούκατος ἤγαγε πρὸς Δομετιανόν. ἐφοβεῖτο γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ, ὡς καὶ Ἡρώδης, καὶ ἠρώτησεν αὐτοὺς πόσας κτήσεις ἔχουσιν ἢ πόσων χρημάτων κυριεύουσιν. οἱ δὲ εἶπον ἀμφότεροι ἐννακισχίλια δηνάρια ὑπάρχειν αὐτοῖς μόνα, ἑκάστου αὐτῶν ἀνήκοντος τοῦ ἡμίσεως. καὶ ταῦτα οὐκ ἐν ἀργυρίοις ἔφασκον ἔχειν, ἀλλ' ἐν διατιμήσει γῆς πλέθρων λθ΄ μόνων· ἐξ ὧν καὶ τοὺς φόρους ἀναφέρειν καὶ αὐτοὺς αὐτουργοῦντας διατρέφεσθαι.

Ἱεροσολύμων γ΄ ἐπίσκοπος Ἰούδας ἔτη ζ΄.

V. 275 C ΚΟΣΜΟΥ ΕΤΗ ,εφπζ΄.

Τῆς θείας σαρκώσεως ἔτη πζ΄.

Ἀπολλώνιος ὁ Τυανεὺς καὶ Εὐφράτης φιλόσοφοι ἤκμαζον.

5. καὶ υἱῶν m. 6. ὡς] οὓς m. 7. ὄντας m. 10. ἐννεακ — m. 17. et 653, 2. σαρκώσεως om. A. 18. Εὐφράτης] Ephrates Eusebius p. 379. Euphrates p. 382.

ANNI MUNDI 5587.

DIVINAE INCARNATIONIS AN. 87.

Ex Hegesippo de iis, qui ex genere David et salvatoris ab haereticis apud Domitianum delati sunt.

Erant adhuc inter vivos ex domini familia, ex Iudae nimirum eius secundum carnem fratris filiis, quorum nomen tanquam ex David stirpe ortorum ad Domitianum detulerunt. Iucatus quidam accusator praecipuus extitit. Timebat enim Domitianus ad Herodis instar domini adventum. De possessionibus autem quas haberent, aut quarum facultatum se dominos scriberent, interrogavit; respondit uterque: denariorum duntaxat novem millibus bona sua aestimari, media nimirum parte alterutri adscripta. Haec autem non numerato, sed iugerum terrae 39 pretio possidere; ex quibus vectigalia penderent, ipsique manibus propriis victum sibi quaeritarent.

Hierosolymorum episcopus 3 Iudas annis 7.

ANNI MUNDI 5587.

DIVINAE INCARNATICNIS AN. 87.

Apollonius Tyanaeus et Euphrates philosophi vigebant.



ΚΟΣΜΟΥ ΕΤΗ ,εφπη΄.

Τῆς θείας σαρκώσεως ἔτη πη΄.

Δομετιανοῦ αἱ τιμαὶ καθῃρέθησαν ὑπὸ τῆς συγκλήτου. καὶ οἱ ἀδίκως ἀπελασθέντες ἐπανῆλθον. ἔνιοι δὲ καὶ ἀπέλαβον τὰς οὐσίας.

Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδόνου ἐκ β΄ λόγου τοῦ πρὸς τὰς αἱρέσεις. D

Περὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.

Καὶ πάντες οἱ πρεσβύτεροι μαρτυροῦσιν οἱ κατὰ τὴν Ἀσίαν Ἰωάννῃ τῷ τοῦ κυρίου μαθητῇ συμβεβληκότες παραδεδωκέναι τὸν Ἰωάννην. παρέμεινε γὰρ αὐτοῖς μέχρι τῶν Τραϊανοῦ χρόνων. τούτοις ἀκόλουθα καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τῷ ἐπιγεγραμμένῳ λόγῳ „Τίς ὁ σωζόμενος πλούσιος" γράφει· μετὰ τὴν Δομετιανοῦ τοῦ τυράννου τελευτὴν ἐπανελθεῖν ἐκ τῆς Πάτμου τὸν P. 346
Ἰωάννην τὸν θεολόγον, ἐπισκόπους τε παρακληθέντας τοῖς πλησιοχώροις ἔθνεσι κατέστησε· τισὶ δὲ καὶ ὅλας ἐκκλησίας ἁρμόσαι. ἐν οἷς καὶ περὶ τὴν τοῦ νεανίσκου προστίθησιν εὔχρηστον ἱστορίαν τοῖς ἐκ πολλῶν ἁμαρτημάτων μεταμελομένοις συμβαλλομένην, ὅπως αὐτὸν ἐπισκόπῳ τινὶ τῶν παρὰ τὴν Ἀσίαν παρέθετο, διαμαρτυράμενος αὐτῷ περὶ τῆς αὐτοῦ σωτηρίας. κἀκεῖνος βα-

4. ἔνιοι ἀπέλαβον καὶ τὰς G. 10. συμβεβηκότες G. 18. μεταμελλουμένοις A. μεταμελουμένοις G. 20. διαμαρτυρούμενος G.

ANNI MUNDI 5588.

DIVINAE INCARNATIONIS AN. 88.

Honores Domitiano a senatu delati abrogantur, revocantur pariter ab exsilio iniuria relegati; quorum nonnulli receptis etiam bonis potiti sunt.

Ex sancti Irenaei Lugdunensis episcopi libro adversus haereses secundo.

De sancto Ioanne theologo.

